Palladis instinctu: sublata verò est valdè statim
Ligna elevans, celeraque lapsa est in pontum,
Et impulsa frequentes dispersit phalanges
Quæ carinæ suppositæ erant uno fune extensæ:
Ingressaque est portum, cæruleaque recessit unda
Littusque repercussum est: gaudebat verò animo Jason,
Desiliitque in navem Argus, sequutusque est juxta Tiphys
Et erexerunt, congruentia parantes,
Malumque & vela, gubernaculaque alligarunt,
Ex puppe appendentes, constringebantque loris.
Sed postquam utrinque remos extenderunt,
Conscendereque jusserunt festinantes Minyas
Illos Æsonides verbis celeribus alloquutus est:
Audite me strenuissimi Reges, non enim mihi
Placet in animo præstantioribus imperare.
Vos verò eum quem cor animusque vester jam designat,
Ducem statuite, & qui de omnibus curabit
Indicare quidque dicendum sit quidque faciendum nobis
Tum pontum navigantibus, tum ad terram appellentibus
Sive Colchorum sive aliorum hominum.
Equidem sanè tantùm mecum multi & boni estis
Qui certè immortalis radicis genus omnes jactatis,
Communemque sequimini laborum gloriam, ut illam consequa-
Non tamen ullum ego meliorem præstantioremque esse (mini.
Hercule rege existimo. Scitis & ipsi.
Dixit. Illi verò omnes laudarunt. Voceque
Populus confirmavit, Minyis regem fore
Alciden, qui omnibus longè excellentior erat sociis.
Sed non persuaserunt regi sapienti (qui sanè jam sciebat
Junonis Consiliis honoratum esse Æsonis filium,

Ὣς δή οἱ κλέος ἐσθλὸν ἐπεσσομένοισιν ὄπαζεν·
Ὅς τότε γ' αὐτὸς ἔνισπεν Ἰήσονα κοίρανον εἶναι,
Πεντήκοντ' ἐρέτῃσιν, ἀνὰ τραφερήν τε καὶ ὑγρήν.
Καὶ τότε δὴ μάλα πάντες ἐπήνεον ὡς ἐκέλευεν
Ἡρακλέης, καὶ θῆκαν Ἰήσονα κοίρανον εἶναι.
Ἦμος δ' ἠέλιος τὸν ἀπείριτον αἰθέρα τέμνων,
Ἵπποις ὠκυπόδεσσι κελαινὴν ἔντυε νύκτα,
Τῆμος ἐνὶ πραπίδεσσιν ἐμήτιεν Αἴσονος υἱός
Πίστιν ἐφ' ἡρώεσσι καὶ ὅρκια συνθεσιάων
Θέσθαι. ὄφρ' ἔμπεδα πάντα φυλασσόμενοι πεπίθοιντο.
Καὶ τότε τοι μουσαῖε, φίλον τέκος, ἀντιοφήμου
Πορσύναι μ' ἐκέλευε θεοῖς ἱερήϊα καλά.
Αὐτὰρ ἐγὼ ψαφαρῇσιν ἐπ' ἠϊόνεσσιν ἐνῆκα
Κᾶλα τά τ' ἐκ δρυός ἐστι φερέσβιος, ἐν δ' ἄρ ὕπερθε
Πέπλῳ παρκατέθηκα θεοῖς ἐπινήχυτα δῶρα.
Καὶ τότε δὴ κεραντῆρα βοῶν περιμυκέα ταῦρον
Σφάζον, ἀνακλίνας κεφαλὴν εἰς αἰθέρα δῖαν,
Ζωοτάμνων· περὶ δ' αἷμα πυρὶ χέον ἔνθα καὶ ἔνθα.
Αὐτὰρ ἐπεὶ κραδίην θερμύσας ποπάνοισιν ἔθηκα
Λείψας ὑγρὸν ἔλαιον, ἐπ' αὐτῷ τε γλάγος ἄμνης.
Ἥρωας δ' ἐκέλευσα περισταδὸν ἀμφιχυθέντας
Δοῦρατ' ἐπαμπήξασθαι ἰδ' ἄορα κωπήεντα,
Βύρσῃ καὶ σπλάγχνοισιν ἐρειδομένοις παλάμῃσι·
Θῆκα δ' ἄρ' ἐν μέσσῳ τεῦχος κυκεῶνος ἐρείσας
Ὀστράκεον, τῷ πάντα περιφραδέως ἐμέμικτο·
Δήμητρος μὲν πρῶτα φερέσβιος ἀλφίτου ἀκτὴ,
Αἷμα δ' ἐπὶ ταύροιο, θαλάσσης δ' ἁλμυρὸν ὕδωρ.
Στέψασθαι δ' ἐκέλευσα κύκλους ἐρόεντας ἐλαίης·
Καὶ τότε χρυσείην φιάλην χείρεσσιν ἐμαῖσιν
Ἀμπλήσας κυκεῶνος, ἐφεξείης ἐπένειμον,

Ut illum hæc gloria apud posteros sequeretur)
Qui tunc sane ipse pronunciavit Jasonem ducem esse
Quinquaginta remigum terra marique.
Tumque maximè id omnes approbarunt quod jussit
Hercules, & statuerunt Jasonem ducem esse.
Quum verò sol immensum æthera secans
Equis velocibus nigram paravit noctem;
Tunc in præcordiis consilium agitavit Æsonis filius
Ut fidem Heroibus & jusjurandum confœderationis
Injungeret, ut sanctè omnia servantes obedirent.
Et tunc Musæe, chare fili, Antiophemi
Parare me jussit celeriter sacra pulchra.
Ast ego siccis in littoribus coagmentavi
Ramos, qui erant ex frugifera quercu, supraque,
Peplo imposui Deorum multa dona.
Et tunc ducem armentorum valdè mugientem taurum
Jugulavi, reflectens caput in æthera divum
Vivum dissecans, & circa ignem sanguinem fudi hinc atque il-(linc.
Posteà verò cor secans placentis inposui
Libans humidum oleum, & super illud lac agnæ.
Heroas verò jussi undique circumfusos
Arma induere, & enses manubriatos
In pellem & viscera figentibus manibus.
Collocavi verò in medio urnam Cyceone plenam
Testaceam, cui omnia ritè immixta erant:
Cereris quidem primùm hominibus vitam ferens farinæ donum,
Sanguisque supra tauri, marisque salsa aqua.
Coronarique jussi amabiles orbes oliva
Et tunc auream phialam manibus meis
Implens Cyceone, ordine distribui

Γνώειν ἄνδρα ἕκαστον ἐρισθενέων βασιλήων.
Πυρκαϊῇ δ᾽ ἐκέλευον ἰήσονα λαμπάδα θέσθαι
Πεύκης ἀζαλέης· ὑπὸ δ᾽ ἔδραμε θεσπεσίη φλόξ.
Δὴ τότ᾽ ἐγὼ πρὸς χεῦμα πολυφλοίσβοιο θαλάσσης
Χεῖρας ἐπαντείνας, τὰ δ᾽ ἀπὸ γλώσσης ἀγόρευσα·
Ὠκεανοῦ μεδέοντες, ἁλικλύστοιό τε πόντου,
Ἐμβύθιοι μάκαρες, καὶ ὅσοι ψαμαθώδεας ἀκτὰς
Ναίετ᾽ ἁλικροκάλους, καὶ τηθύος ἔσχατον ὕδωρ,
Νηρέα μὲν πρώτιστα καλῶ πρέσβυστον ἁπάντων,
Ἄμμιγα πεντήκοντα κόραις πάσῃσιν ἐραννοῖς·
Γλαυκὴν δ᾽ ἰχθυόεσσαν ἀπείριτον ἀμφιτρίτην,
Πρωτέα καὶ φόρκυνα, καὶ εὐρυβίην τρίτωνα,
Λαιψηροὺς τ᾽ ἀνέμους, αὔραις μέγα χρυσεοτάρσοις,
Ἀστέρα τε τηλεσίφαντα, καὶ ἀχλύα νυκτὸς ἐρεμνῆς,
Αὐγήν τ᾽ ἠελίοιο ποδῶν προποδηγέτιν ἵππων,
Δαίμονας εἰναλίους τε μιγαζομένους ἥρωσιν,
Ἀκταίους τε θεοὺς, ποταμῶν θ᾽ ἁλιμυρέα ῥεῖθρα·
Αὐτόν τε κρονίδην σεισίχθονα κυανοχαίτην,
Κύματος ἐκπροθορόντα, μολεῖν ἐπιτάῤῥοθον ὅρκων.
Τόφρα μὲν οὖν ἐπίκουροι ἰάσονος ἔμπεδον αἰεὶ
Μίμνωμεν προφρόνως ξυνῶν ἐπαρηγόνες ἄθλων,
Ζωοὶ νοστήσωμεν ἐὰ πρὸς δώμαθ᾽ ἕκαστος.
Ὃς δέ κε συνθεσίης δηλήσεται οὐκ ἀλεγίζων
Ὅρκον ὑπερβάσιον, τούτου δ᾽ ἐπιμάρτυροι ἔστων,
Ἰθύντειρα δίκη, καὶ ἐριννύες αἰνοδότειραι.
Ὣς ἔφαμην, οἱ δ᾽ αὖτις ὁμοφροσύνῃ κατένευσαν,
Ὅρκια δειμαίνοντες, ἐσημήναντο δὲ χερσίν.
Αὐτὰρ ἐπεί ῥ᾽ ὄμοσάν τε τελεύτησάν τε τὸν ὅρκον,
Δὴ τότε νηὸς ἔσω κοῖλον κύτος εἰσεπέρησαν
Πάντες ἐφεξείης. ὑπὸ δὲ ζυγὰ τεύχε᾽ ἔθεντο,

Χεῖρας

Ad delibandum viris ſingulis potentum regũm
Rogoque juſſi Jaſonem lampada admovere
Ex tæda arida: ſubter autem cucurrit divina flamma.
Tum ego ad ripam reſonantis maris
Manus extendens, hæc linguâ mea pronunciavi:
Oceano imperantes, undiſonoque ponto,
Profundi beati, & quotquot arenoſas ripas
Habitatis marinis calculis obſitas, Thetyosque ultimam aquam.
Nerea quidem primum voco, vetuſtiſſimum omnium,
Una cum quinquaginta puellis omnibus amabilibus:
Glaucenque piſculentam, immenſam Amphitriten
Proteaque & Phorcyna & latè potentem Tritona,
Celeresque ventos, una cum auris, aureos pedes habentibus.
Aſtraque procul ſplendentia, & tenebras noctis opacæ,
Jubarque ſolis pedum rectorem equinorum,
Dæmonesque maritimos mixtos Heroibus, (*fluenta;*
Littoralesque Deos, fluviorumque in mare ſe exonerantium
Ipſumque Saturnium terræ concuſſorem, nigram comam haben-
Et fluctibus proſilientem; venire adjutorem juris jurandi: (*tem,*
Tum quidem quùm auxiliatores Jaſonis firmè ſemper
Permanſerimus, promptè communium auxiliatores laborum
Vivi redibimus ſuas ad domos unusquisque:
Qui verò pacta lædet, non curans
Jus violatum, in illum teſtes ſunto
Rectrix Juſtitia, & Erinnyes pœnas ſumentes.
Sic ego loquutus ſum. Illi verò rurſus unanimiter annuerunt,
Jura timentes, ſignumque dederunt manibus.
Sed poſtquam juraverunt præſtaruntque jusjurandum,
Tunc quidem navis ſuæ in cavum fundum ingreſſi ſunt,
Omnes ordine, ſub tranſtra verò arma poſuerunt,

Χεῖρας ἐρετμώσαντες· ἐκέκλετο δ' αὐτόθι Τῖφυς
Ἐκταδίοις ὅπλοις δῆσαι παρὰ κλίμακα μακρὴν,
Ἱςία δ' ἁπλῶσαι, λιμένος δ' ἐκ πείσματα θέσθαι.
Καὶ τότε δὴ λιγὺν οὖρον ἐπιπροέηκε νέεσθαι
Ἥρη ζηνὸς ἄκοιτις. ἐπείγετο δ' ἐς πλόον Ἀργώ.
Οἱ δ' ἄρ' ἐπ' εἰρεσίην ἔπεχον χεῖράς τε νόον τε
Ἄκμητοι βασιλῆες. ἐτέμνετο δ' ἄσπετος ἅλμη,
Ἀφροῦ ἀμ' οἰδαίνοντος ὑπὸ τρόπιν ἔνθα καὶ ἔνθα.
Ἦμος δ' ἱερὸς ὄρθρος ἀπ' ὠκεανοῖο ῥοάων
Ἀντολίας ἤνοιγεν, ἐπέσπετο δ' ἠριγένεια
Ἡδὺ φάος θνητοῖσι καὶ ἀθανάτοισι φέρουσα·
Καὶ τότε δὴ σκοπιαί τε καὶ ἠνεμόεσσα κολώνη,
Πηλίου ὑλήεντος ἀπ' ἠϊόνος κατέφαινε.
Τῖφυς δ' ἀμπνεύσας διαστῆς οἰήϊα χειρός
Τυτθὸν ὑπ' εἰρεσίῃσιν ἐκέκλετο κῦμα χαράσσειν·
Καὶ ῥα θοῶς ἀκτῇσιν ὑπέδραμον· ἐκ δ' ἄρα νηὸς
Κλίμακα δουρατέην λιμένων ἔντοσθε χάλασσαν.
Ἐκ δ' ἔβαν ἥρωες μινύαι, παύσαντο δὲ μόχθου.
Τοῖσι δὲ μύθων ἦρχεν ὁμιλαδὸν ἱππότα πηλεύς.
Ὦ φίλοι, ἀθρεῖτε σκοπιῆς προὔχοντα κολωνὸν,
Μέσσῳ ἐνὶ πρηῶνι κατάσκιον; ἔνθαδε χείρων
Ναίει ἐνὶ σπήλυγγι δικαιότατος κενταύρων,
Οἳ τράφον ἐν φολόῃ, πίνδου τ' αἰπεινὰ κάρηνα;
Ὃς ῥα δικασπολίῃ μέλεται καὶ ἀκέσμασι νούσων·
Ἄλλοτε δ' αὖ φοίβου κιθάρην μετὰ χερσὶν ἀράσσων,
Ἢ λιγυρὴν φόρμιγγα χελυκλόνον ἑρμάωνος,
Πᾶσι περικτιόνεσσι δικασπολίας ἀναφαίνει.
Τόφρα καὶ ἡμέτερον κοῦρον θέτις ἀργυρόπεζα
Νήπιον ἀρτιγένεθλον ἐν ἀγκαλίδεσσι λαβοῦσα,
Πήλιον εἰνοσίφυλλον ἔβη, χείρωνί τ' ἔδωκεν

Manus remis injicientes jussitque ibi Tiphys
Extensis funibus connectere scalam longam,
Vela verò expandere & à portu funes attrahere.
Atque tunc placidum ventum immisit
Juno Jovis conjunx, unde impulsa est ad navigationem Argo.
Illi verò remigio applicuere manusque animumque
Indefessi reges, sulcabaturque immensum mare,
Spumâ simul tumente sub carina hinc atque illinc.
Cùm verò sacrum crepusculum ex Oceani fluentis
Ortus aperuit, subsecutaque est aurora
Jucundam lucem mortalibus immortalibusque ferens:
Tunc & speculæ & ventosum jugum
Pelii nemorosi à littore apparuerunt.
Tiphys verò remittens ex utraque gubernacula manu,
Paulatim sub remis jussit undam sulcare.
Et sanè celeriter ad littus accurrerunt; & ex navi
Scalam ligneam portum intra demiserunt
Et descenderunt Heroes Minyæ, cessaveruntque à labore.
Illosque alloqui cœpit congregatim omnes eques Peleus:
O Amici, videtis speculæ eminentem verticem,
Medio in cacumine umbrosum? illic Chiron
Habitat in spelunca, justissimus Centaurorum,
Qui nutriti fuerunt in Pholoë, & Pindi altos vertices?
Qui quidem justitiæ dat operam & remediis morborum:
Aliàs verò etiam Phœbi citharam manibus tollens,
Aut stridulam Phorminga, testudini similem sonum emittentem
Omnibus vicinis judicia declarat. *(Mercurii,*
Illuc etiam filium nostrum Thetis argenteos pedes habens
Infantem recens genitum in ulnas capiens,
Pelium frondosum adscendit, Chironique dedit

 Benè

Εὖ μὲν ἐπισταμένως ἀγαπαζέμεν, ἠδ᾽ ἀλιτάλλειν.
Ὃν δή μοι πόθος ἐστὶ περὶ φρέα θῆ σαῶσαι.
Ἀλλὰ φίλοι πελάσωμεν ἐπὶ σπέος, ὄφρα ἴδωμεν
Ἔξιν παιδὸς ἐμοῖο, καὶ ἤθεσιν οἷσι κέκασται.
Ὣς εἰπὼν ἔξῖκεν ἀταρπιτόν· οἱ δ᾽ ἑπόμεσθα.
Αὐτὰρ ἐπ᾽ εἰς αὐλὴν εἰσήλθομεν ἠεροειδῆ,
Καὶ προκεκλιμένος μὲν ἐπ᾽ ἐλαΐοιο χαμεύνης
Κεῖτο μέγας κένταυρος, ἀπηρήρειστο δὲ πέτρῃ,
Ἱππείαισιν ὁπλαῖσι τανυσσάμενος θοὰ κῶλα.
Ἄγχου δ᾽ ἱστάμενος Θέτιδος καὶ Πηλέος υἱός
Χερσὶ λύρεαν ἤρασσε, φρένας δ᾽ ἐτέρπετο Χείρων.
Ἀλλ᾽ ὅτε δή ῥ᾽ ἄθρησεν ἀγακλειτοὺς βασιλῆας,
Ἀσπασίως ἀνόρουσε, κύσεν δ᾽ ἄρα φῶτα ἕκαστον·
Δαῖτά τ᾽ ἐπόρσυνεν· μέθυ δ᾽ ἀμφιφορεῦσι κόμισσεν,
Ῥωγαλέαις τ᾽ ἔστρωσεν ὑπὸ στιβάδεσσι πέτηλα·
Κλινθῆναι δ᾽ ἐκέλευσεν, ἀδαιδάλτοις δ᾽ ὑπὸ πλαστικῆς
Κρέα χύδην παρέθηκε συῶν ἐλάφων τε ταχειῶν.
Αὐτὰρ ἔπειτ᾽ ἐπένειμε ποτὸν μελιηδέος οἴνου.
Ἀλλ᾽ ὅτε δὴ δόρπιο ποτοῦ θ᾽ ἅλις ἔπλετο θυμός,
Χερσὶν ἐπικροτέοντες ὁμόκλεον, ὄφρ᾽ ἂν ἔγωγε
Δηρίσω Χείρωνι διωλύγιον κιθαρίζων.
Ἀλλ᾽ ἐγὼ οὐ πιθόμην· περὶ γάρ με ἐπήλυθεν αἰδώς,
Ὁπλότερον γεγαῶτα γεραιτέρῳ ἰσοφαρίζειν·
Μέσφ᾽ αὐτὸς Χείρων ἐλιλαίετο, καί μ᾽ ἀέκοντα
Ἠνώγει ἄδων ἐριδαινέμεν εἵνεκα μολπῆς.
Πρῶτος δ᾽ αὖ κένταυρος ἀείρατο πηκτίδα καλήν,
Ἥν ῥα τότ᾽ ἐν χείρεσσι φέρων ὤρεξεν Ἀχιλλεύς.
Ὃς δ᾽ ἄρ᾽ ἄειδε μάχην κενταύρων ὀβριμοθύμων,
Οὓς Λαπίθαι κατέπεφνον ἀτασθαλίης ἕνεκα σφῶν,
Ἠδ᾽ ὡς Ἡρακλῆϊ καταντία μαιμώοντες,

Ἐν

Benè quidem prudenterque amare, & curiosè nutrire.
Hunc quidem desiderium est in animo, videndi.
Sed amici accedamus ad antrum, ut videamus
Habitum filii mei, & moribus qualibus ornatus sit.
Sic dicens, ingressus est viam, nosque illum secuti sumus.
Sed ubi in aulam pervenimus obscuram,
Ibi recumbens in humili lecto
Jacuit magnus Centaurus, sustentebaturque petra,
Equinis ungulis extendens celeria membra.
Propè vero adstans Thetidis & Pelei filius
Manibus lyram tractavit; animo autem delectabatur Chiron.
Ast cùm vidisset magnanimos reges,
Modestè assurrexit, osculatusque est singulos:
Epulasque præbuit, vinaque diotis apportavit,
Fractisque substravit lectis folia:
Et accumbere jussit, impolitisque in discis
Carnes abunde apposuit porcorum cervorumque celerium.
Postea distribuit potum melliti vini.
Sed cùm cibi potusque satis fuit animo,
Manibus applaudentes simul jusserunt, ut ego
Certarem cum Chirone, latè sonans quid, cithara ludens.
Sed non ego persuasus sum: me enim supervenit pudor,
Juniorem seniori me æquiparare:
Donec ipse Chiron id desideravit, & me invitum
Coëgit canens, certare cantu.
Primùm quidem Centaurus sumsit pectidem pulcram;
Quam tunc in manibus ferens porrexit ei Achilles.
Ille quidem cecinit pugnam Centaurorum magnanimorum;
Quos Lapithæ trucidarunt sua culpa,
Et quemadmodum contra Herculem valdè incitati,

Ἐν Φολόῃ δήελσαν· ἐπεὶ μένος οἴνου ἔγειρεν.
Αὐτὰρ ἔγωγε μεθ' αὐτὸν ἑλὼν φόρμιγγα λιγείαν,
Ἐκ στόματος μελίγηρυν ἱεὶς ἀνέπεμπον ἀοιδήν.
Πρῶτα μὲν ἀρχαίου χάεος μελανήφατον ὕμνον,
Ὡς ἐπάμειψε φύσεις, ὥς τ' οὐρανὸς ἐς πέρας ἦλθε.
Γῆς τ' εὐρυστέρνου γένεσιν, πυθμένα τε θαλάσσης·
Πρεσβύτατόν τε καὶ αὐτοτελῆ πολύμητιν ἔρωτα,
Ὅσα τ' ἔφυσεν ἅπαντα, διέκρινε δ' ἄλλον ἀπ' ἄλλου·
Καὶ κρόνον αἰνολέτην, ὥς τ' ἐς Δία τερπικέραυνον
Ἤλυθεν ἀθανάτων μακάρων βασιλήϊος ἀρχή.
Μέλπον θ' ὁπλοτέρων μακάρων γένεσίν τε κρίσιν τε·
Καὶ βριμοῦς, βάκχοιο, γιγάντων τ' ἔργ' ἀΐδηλα.
Ἀνθρώπων δ' ὀλιγοδρανέων πολυεθνέα φύτλην
Ἤειδον· στεινὸν δὲ διὰ σπέος ἤλυθεν αὐδή,
Ἡμετέρης χέλυος μελιχρὴν ὄπα γηρυούσης.
Ἔσσυτο δ' ἄκρα κάρηνα καὶ ἄγκεα δενδρήεντα
Πηλίου, ὑψηλάς τε μετὰ δρύας ἤλυθε γῆρυς.
Καί ῥ' αἱ μὲν προρρίζοι ἐπ' αὔλιον ἐθρώσκοντο,
Πέτραι τ' ἐσμαράγουν. θῆρες δ' ἀΐοντες ἀοιδῆς,
Σπήλυγγος προπάροιθεν ἀλυσκάζοντες ἔμιμνον·
Οἰωνοί τ' ἐκυκλοῦντο βοαύλια κενταύροιο,
Ταρσοῖς κεκμηῶσιν, ἑῆς δ' ἐλάθοντο καλιῆς.
Αὐτὰρ ὁρῶν κένταυρος ἐθάμβεε, χεῖρ' ἐπὶ καρπῷ
Πυκνὸν ἐπισείων· οὖδας δ' ἤρασσεν ὁπλῇσι.
Τῖφυς δ' εἰσεπέρησε νεὼς ἄπο, καί ῥ' ἐκέλευσεν
Ὦκα παρὰ μινύαισιν· ἐγὼ δ' ἄμπαυον ἀοιδῆς.
Οἱ δὲ θοῶς ἤγερθεν, ἔντυνε δὲ τεύχε' ἕκαστος.
Παῖδα δ' ἐν ἀγκαλίδεσσιν ἐνίσχανεν ἱππότα Πηλεὺς,
Καὶ ῥ' ἔκυσεν κεφαλήν τε, καὶ ἄμφω φάεα καλά,
Δακρυόεν γελόων· κηλήθη δὲ φρέν' ἀχιλλεύς.

Αὐτὰρ

In Pholoë pugnaverint; quoniam eos ira propter (surreptum) vi-
Posteà ego, post ipsũ arripiens lyram stridulam, (num irritavit.
Ex ore mellifluum emittens resonavi cantum.
Primùm quidem vetusti chaus tristem hymnum,
Quomodo distribuerit elementa, & quomodo cœlum ortum nactus
Terræque vastæ natales, profunditatemque maris: (sit
Antiquissimumque & perfectissimum multi consilii amorem,
Et quæcunque generaverit omnia, secreveritque aliud ab alio.
Saturnumque perniciosum, quomodoque ad Jovem fulmine gau-
Descenderit immortalium Deorum regium imperium. (dentem
Cantabamque recentiorum beatorum genusque & discrepan-
Et Brimonis, Bacchi, Gigantorumque facta crudelia. (tiam:
Hominumque imbecillium multarum gentium originem
Cecini. Angustum verò per antrum ivit vox
Nostræ lyræ perdulcem vocem sonantis.
Commoti verò sunt alti vertices & valles sylvosæ
Pelii, altasque ad quercus penetravit vox.
Etenim ipsæ radicitus evulsæ ad aulam properaverunt,
Petræque resonuerunt; feræque audientes cantum,
Ante speluncam fugitivæ exspectarunt,
Avesque circumdederunt stabula Centauri,
Pennis defessis, suique oblitæ erant nidi.
Sed videns hæc Centaurus obstupuit, manum super volam
Valdè feriens, terramque pulsavit unguibus.
Tunc Tiphys venit à navi, & vocavit
Repentè Minyas: ego autem cessavi à cantu.
Illi verò celeriter surrexerunt, induitque arma unusquisque.
Filium verò ulnis complexatus est eques Peleus,
Et osculatus est caputque & ambos oculos pulchros.
Lacrymosum ridens: lætatusque est mente Achilles.

Αὐτὰρ ἐμοὶ Κένταυρος ἑῇ γέρας ὤπασε χειρὶ
Νεβρὴν παρδαλέην, ξεινήϊον ὄφρα φέροιμι.
Ἀλλ' ὅτε δὴ σπήλυγγος ἄπο προθορόντες ἔβημεν
Ἄκρης ἐκ σκοπιῆς, ὁ γέρων ἀνὰ χεῖρας ἀείρων
Φιλλυρίδης ἠρᾶτο, θεοὺς δ' ἐπεκέκλετο πάντας,
Νόστον μὲν Μινύαισιν ἰδὲ κλέος ἐσθλὸν ἀρέσθαι
Ὁπλοτέροις βασιλεῦσι καὶ ἐσσομένοις μερόπεσσιν.
Αὐτὰρ ἐπείτ' ἐπὶ θῖνα καὶ ἐς νέα πάντες ἔβησαν
Ἐν προτέροις θώκοισι καθίζανον· ἐν δ' ἄρ' ἐρετμοῖς
Χεῖρας ἐφαπλώσαντες, ἐπὶ ῥ' ἅλα τύπτον ἕκαστος,
Πήλιον ἐκδύσαντες· ὕπερ μέγα λαῖτμά τε πόντου
Ἀφρὸς ἐπιζείων χαροπὴν λεύκαινε θάλασσαν.
Πισσαίη δ' ἀπέκρυφθεν ἄκρη καὶ σηπιὰς ἀκτή.
Φάνθη δὲ σκίαθος, Δόλοπός τ' ἀνεφαίνετο σῆμα,
Αἰγιαλός θ' ὁμαλὴ, ῥεῖθρόν θ' ἁλιμυρὲς ἐναύλου,
Ὃς διὰ πολλὴν γαῖαν ἱεῖ μεγαλόβρομον ὕδωρ.
Οὐλύμπου δὲ βαθυσκοπέλου πρηῶνας ἐρυμνοὺς
Εἰσέβρεμον Μινύαι, καὶ ἄθω δενδρώδεα κάμψαν,
Πελλήνην τ' εὐρεῖαν, ἰδὲ ζαθέην σαμοθρήκην.
Ἔνθα καὶ ὄργια φρικτὰ θεῶν, ἄρρηκτα βροτοῖσιν,
Ἀσμένοι εἰσεπέρησαν ἐμῆς ὑποθημοσύνῃσιν
Ἥρωες· μετὰ γάρ σφιν ὀφέλσιμον ἀνθρώποισι
Τῆς δὲ θυηπολίης ἄμοτον πλωτῆρσιν ἑκάστοις.
Σιντιακαῖς δ' ὀφρῦσιν ἐκέλσαμεν ὠκύαλον ναῦν
Λήμνῳ ἐν ἠγαθέῃ. τόθι περ κακὰ ἔργα μεμήλει
Θηλυτέραις. αἳ γάρ κεν ἀϊστώσαντο συνεύνους
Σφῆσιν ἀτασθαλίῃσι, καὶ ἡ κλυτὴ ὑψιπύλεια
Ἑλδομέναις κραίνεσκε, γυναικῶν εἶδος ἀρίστη.
Ἀλλὰ τίσι περὶ τοῦ δέ πολὺν λόγον ἀμφαδὸν εἰπεῖν,
Ὅσσον ἐφ' ἵμερον ὦρσεν ἀγαυαῖς λημνιάδεσσιν

Κύπρις

Posteà mihi Centaurus sua donum præbuit manu,
Pellem pardi, hospitale donum ut ferrem.
Sed quando ex spelunca abeuntes discessimus,
Alta ex specula senex in altum manus elevans
Phyllirides precatus est, deosque invocavit omnes;
Ut reditum Minyæ & magnam gloriam referant
Juvenes reges & futuri viri.
Sed postquam ad littus & in navem omnes descenderunt;
In prioribus transtris consederunt, inde remis
Manus applicantes, undas verberabant omnes,
Pelium evadentes. Super magnam verò undam ponti
Spuma referveſcens, glaucum albefecit mare.
Pisæusque occultatus est vertex, & Sepias crepido.
Apparuitque Sciathos, Dolopisque se ostendit sepulcrum.
Maritimaque Homole, fluentumque in mare labentis Amyri,
Qui per magnam terram mittit strepentes aquas.
Olympique excelsi cacumina inaccessa
Prospexerunt Minyæ, & Atho arboribus consitam circumvecti
Pallenenque latam, & perdivinam Samothracen. (sunt,
Ubi & sacra tremenda Deorum, intemeranda hominibus,
Lubentes adierunt meis monitis;
Heroes. Deinceps enim valde utilis est hominibus
Hæc sacrorum situs, navigantibus omnibus.
Ad Sintiaca verò littora inde appulimus celerem navem
In Lemno divina. Illic quidem tunc mala opera curæ erant
Fœminis; nam trucidaverunt maritos
Suis sceleribus, & incluta Hypsipile
Ita cupientibus imperavit, formâ inter mulieres præstantissima.
Sed quid tibi de his multa verba copiosè dicam,
Quantum desiderium excitaverit nobilibus in Lemniadibus

Κύπρις ἐρωτοτρόφος, μινύαις εἰς λέκτρα μιγῆναι,
Φίλτροις ὑψιπύλην ἐρατοῖς ἐδάμασσεν ἰήσων·
Ἄλλη δ᾽ ἄλλος ἔμικτο, καὶ ἐκλελάθοντο πορείης,
Εἰ μὴ ἀποτροπίοις ἐνοπαῖς θελξίφρονι θυμῷ
Ἡμετέρῳ θελχθέντες ἔβαν ποτὶ νῆα μέλαιναν,
Εἰρεσίην ποθέοντες, ἐπεμνήσαντο δὲ μόχθου.
Ἔνθεν ἐς ἑλλήσποντον ἅμ᾽ ἠῶος φέρεν οὖρος
Ἀκραὴς ζέφυρος, στεινῆς ἀπάτερθεν ἀβύδου,
Ἴλιον δαρδανίην, πιτύην ἐπιδέξι᾽ ἔχοντας.
Οὐ καὶ ἀβαρνιάδας, περκώτης τ᾽ εὔσταχυν αἶαν
Ἀργυρέαις αἴσηπος ἐπικλύζει προχοῇσιν·
Αἶψα δ᾽ ἐπιβρώσκουσα θεὲν πολυηγόρος ἀργώ.
Αὐτὰρ ἐπεὶ ψαμάθοισιν ἐκέλσαμεν, ἐν δ᾽ ἄρα τῖφυς,
Ἰθύντωρ ἀκάτοιο, καὶ ἀγλαὸς αἴσονος υἱός,
Σύν τ᾽ ἄλλοι μινύαι, γλαυκώπιδι τριτογενείῃ
Θῆκαν ἀείραντες βελθὺν λίθον, ἔνθα δὲ νύμφαι
Κρήνῃ ὑπ᾽ ἀρτακίῃ καλὰ νάματα πλημμύρουσιν,
Οὕνεκά οἱ πλώουσιν ἀνὰ πλατὺν ἑλλήσποντον
Εὔδιος ἀντεβόλησε μυχοῦ ἔντοσθε γαλήνη,
Οὐδ᾽ εἰς γαῖαν ἔρειψαν εὐγνάμπτους ἀγκύρας,
Κύμασι θεινόμενοι ὑπὸ χειμερίοισιν ἀήταις.
Ἐνθάδε προσσύναντες ἐπὶ κροκάλαις προὐχούσαις
Δεῖπνα τὲ καὶ κλισίην, δόρπου μεμνήμεθ᾽ ἕκαστοι.
Δὴ τότε κεκλιμένοισιν ἐπήλυθε κύζικος ἥρως,
Ὃς Δολόπων ἤνασσε περικτιόνων ἀνθρώπων,
Αἰνῆος φίλος υἱός, ὅν οἱ τέκε δῖα γυναικῶν,
Εὐδώρου θυγάτηρ αἰνίππη καλλιπάρηος·
Ὅς ῥα φιλοξενίῃ μινύας ἐγέρηρεν ἅπαντας,
Σφάζων πῖα τε μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς,
Ἀγροτέρους τε σύας. δῶκεν δ᾽ ἐπὶ οἶνον ἐρυθρόν,

Cypris amores nutriens, cum Minyis in lectis commisceri:
Illecebris Hypsiphilen amatoriis domuit Jason:
Aliæque alius commiscebatur, & obliti fuissent itineris sui,
Nisi quidem revocatoriis monitis, suavique cantu
Nostro persuasi, descendissent ad navem nigram,
Remigationem desiderantes, recordatique fuissent laboris.
Inde in Hellespontum cum aurora tulit nos ventus
In superficie flans Zephyrus, angustam præter Abydon.
Ilium Dardaniam Pityam ad dextram habentes.
Ubi etiam Abarniados Percotesque frugiferam terram
Argenteis Æsepus alluit undis
Statimque subsultans fatidica cucurrit Argo.
Sed cùm ad arenas appulimus, inde Tiphys
Gubernator navis, & præclarus Æsonis filius,
Simulque reliqui Minyæ, glaucos oculos habenti Minervæ
Erexerunt grave Saxum; illic verò Nymphæ
Fonte sub Atracio pulchras scaturigines erumpere faciunt,
Quoniam navigantibus supra latum Hellespontum
Serena occurrit, in ipso recessu, tranquillitas,
Neque projecerunt in terram benè curvatas anchoras,
Undis percussi sub tempestuosis flatibus.
Illic verò parantes super littora eminentia
Cœnam & tentorium, cibi recordati sumus omnes.
Tunc quidem recumbentibus supervenit Cycicus heros,
Qui Dolopibus circumhabitantibus imperavit,
Ænei charus filius, quem ipsi peperit divina mulier
Eusori filia Æneta pulchras genas habens.
Qui sanè hospitalitate Minyas honoravit omnes,
Mactans pinguesque oves & flexipedes camuros boves:
Agrestesque sues; deditque præterea vinum rubrum.

Σῖτον δ' ἄφθονον ἧκεν ἀποπλώουσι φέρεσθαι,
Χλαίνας τ' ἠδὲ τάπητας, ἐϋννήτους τε χιτῶνας.
Φίλετο δ' αὖ παρεόντας ὁμηλικίης ἕνεκα σφῆς.
Καί ῥα πανημερίοισιν ἐν εἰλαπίναισιν ὅμαρτεν.
Ἀλλ' ὅτε γ' ὠκεανοῖο ῥόον βαπτίζετο Τιτὰν,
Μήνη δ' ἀστροχίτων ἔπαγεν μελαναυγέα ὄρφνην
Τῆμος ἀρηΐφατοι κίον ἀνέρες, οἵ ῥα νέμοντο
Ἀρκτῴοις ἐν ὄρεσσι τεθηπότες εἴκελα θηρσὶ,
Τιτᾶσι βελαροῖς τ' ἐναλίγκιοι ἠδὲ γίγασιν·
Ἑξ γὰρ χεῖρες ἑκάστῳ ἀπ' ὤμων ἀΐσσοντο.
Οὓς τότ' ἐσαθρήσαντες ἀμαιμάκετοι βασιλῆες,
Ἐς μόθον ὁρμαίνοντες ἀρήϊα τεύχε' ἔδυνον·
Καί ῥ' οἱ μὲν πεύκῃσιν ἀμύνοντ', οἱ δ' ἐλάτῃσιν.
Ἐν δ' ἔπεσαν μινύαισι κατὰ σκοτόεσσαν ὁμίχλην.
Οὓς τοι ἐπειγομένους κτεῖνεν διὸς ἄλκιμος υἱὸς,
Τόξῳ ὀϊστεύων. σὺν δ' αὖ νέον ὤλεσε παῖδα
Κύζικον, οὔτι ἑκὼν ἀλλ' ἀφραδίῃσι πεδηθείς·
Τῷ δ' ἄρα μόρσιμον ἦεν ὑφ' ἡρακλῆϊ δαμῆναι.
Αἶψα δέ οἱ μινύαι κοίλης ἔντοσθεν ἔβησαν
Νηὸς τευχήρεις, ποτὶ δὲ ζυγὸν ἷζον ἕκαστος.
Τῖφυς δὲ πρύμνηθεν ἐπήπυεν, ἠδ' ἐκέλευε
Κλίμακα νηὸς ἔσω ἐρύσαι, καὶ πείσματα λῦσαι·
Ἀλλ' οὐ γὰρ λύοντο κάλοι, δεσμοῖσι δ' ἀφύκτοις
Ὠκείης στροφάλιγγος ἀρηρότες ἐσφίγγοντο,
Νῆα κατείργοντες. θάμβησε δὲ Τῖφυς ἀμύμων,
Ἄφθογγος δὲ προῆκε χερῶν οἰήϊα νηὸς
Ἀργώης· οὐ γάρ γε ἐέλπετο κῦμα περῆσαι.
Ῥείη γάρ κατέεσχε δεδουπότος εἵνεκα λαοῦ.
Ἀλλ' ὅτε πρὸς μέσατον νυκτὸς προὔβαινεν ἀταρπὸς,
Ἄστρα τε τηλεφανῆ δῦεν ῥόον ὠκεανοῖο,

Frumentumque abundans jussit abeuntibus adferri.
Vestesque & tapetes, pictasque tunicas,
Amabatque præsentes ætatis æqualitatis gratia suæ.
Et sanè per integrum diem compotationibus eos prosequutus est.
Sed quando in Oceani fluctus immersus est Titan,
Lunaque stellis amicta induxit opacam caliginem,
Tunc martii venerunt viri, qui habitabant
Arctois in montibus, stupidi similes feris.
Titanibusque fortibus persimiles & Gigantibus:
Sex enim manus unicuique ab humeris eminebant.
Quos tunc inspicientes fortissimi reges,
In pugnam irrumpentes, bellica arma induerunt:
Et sanè illi tædis pugnabant, illi verò abietibus:
In Minyas autem impetum fecerunt circa tenebrosam noctem.
Quos irrumpentes occidit Jovis robustus filius,
Arcu jaculans, simulque juvenem occidit
Cyzicum, non lubens quidem, sed inadvertentia impeditus:
Huic verò in fatis erat ab Hercule occidi.
Statim verò Minyæ cavam conscenderunt
Navem armati, & ad transtra sedebat unusquisque.
Tiphys verò à puppi clamavit & jussit
Scalam in navim trahere, & funes solvere.
Verùm non solvi poterant funes, sed nodis inexplicabilibus
Celeri procella constricti, impediebantur,
Navim retinentes. Obstupuit verò Tiphys irreprehensibilis,
Et obmutescens dimisit ex manibus gubernacula navis
Argoæ. Desperabat enim fluctus amplius transire.
Rhea quippe irata erat ob cæsum populum.
Ast quùm ad medium processisset noctis via,
Astraque longè lucentia occidissent in fluenta oceani,

Ὄσσε κυβερνήτῃ περιεπέσχε νήδυμος ὕπνος.
Τῷ δὲ βαθὺ κνώσσοντι θεὰ μενέδουπος Ἀθήνη
Ἄγχι παρισταμένη παρετήτυμα σήματ' ἔφαινεν.
Ὧδε δ' ὁμοκλήσασα θεηγόρον ἔννεπε μῦθον,
Εὕδεις Αἰνιάδη γλυκερῷ βεβολημένος ὕπνῳ,
Κῶμα περὶ βλεφάροισι βαλών. ἀλλ' ἔγρεο τῆφυ,
Κέκλεο δ' ἡρώεσσι μολεῖν ἐπὶ νήνεμον ἀκτὴν,
Νηὸς ἄπο προθορόντας, ὅθι ξένος ἐν ψαμάθοισι
Κεῖται ἀποφθίμενος· τῷ οἱ κτέρεα κτερεΐξαι
Παμμήτειρα ῥέη κέλεται γέρα, ἠδέ τε λοιβάς
Δοῦναι ὑποχθονίοισι, καὶ δάκρυα λειβέμεν ὄσσων,
Αἰδομένους θέμιν αἰνοτελῆ ξενίην τε τράπεζαν.
Ὃν ῥ' ἀέκων ἔκτεινε βαλὼν διὰ νύκτερον ὄρφνην
Ἡρακλέης, θυμὸν δὲ θεᾶς ἐχολώσατο ῥείης.
Ἀλλ' ὁπόταν θεσμοῖς ξεῖνον σεβάσησθε θανόντα,
Δίνδυμον αὐτίκ' ἔπειτα ῥέης ἕδος εἰσαναβάντες,
Ἱλασμοῖς ἱεροῖς γαίης ἀρέσασθε θύγατρα,
Πείσματα δ' ἀράμενοι, τότε δὴ μνώεσθε πλόοιο.
Ὣς εἰποῦσα θεὰ πάλιν ἐτράπετ' ἶσον οἰσῷ,
Οὐρανὸν ἐσσυμένη· τοῦ δ' αὐτίκα κῶμ' ἐκεδάσθη,
Πρύμνης δ' ἆλτο θοῶς. ἀνέγειρε δὲ λαὸν ἀϋτῇ,
Τοίχων ἔνθα καὶ ἔνθα παρακλιδὸν ὑπνώοντας,
Ψυχῇ ὑποτρομέων. ἄφαρ ἡρώεσσι δ' ὀνείρου
Φάσματα πᾶσιν ἔνισπεν, ἐπιδρομάδην ἀγορεύων.
Οἱ δὲ θοῶς ἤγερθεν, ἐπ' ἠόνα δ' ἆλτο ἕκαστος.
Ἡ δὲ καὶ ὀρφναίοιο πύλας χρυσήνιος ἠὼς
Ἀντολίην ἤνοιγεν, ἐδέχνυτο δ' οὐρανὸς ὄρθρον.
Καὶ τότ' ἀριστῆες μινύαι νέκυν εἰσενόησαν
Αἵματι καὶ κονίῃ πεπαλαγμένον· ἀμφὶ γὰρ ἄλλοι
Δήιοι ἀμφὶς ἔκειντο πελώρια σώματα θηρῶν.

Oculos gubernatoris invasit profundus somnus.
Illi verò altum dormienti, Dea horrisona Minerva
Propè adstans, vera mandata declaravit:
Hocque modo minitata, divinum dixit verbum:
Dormis Hagniades dulci percussus somno,
Veternum circa supercilia jaciens. Sed excitare Tiphy,
Jubeque heroas redire ad tranquillum littus,
A navi desilientes, ubi hospes in arenis
Jacet mortuus; ut illi justa persolvant.
Omniparens Rhea jubet munera & libamina
Præbere inferis, & lacrymas libare oculorum,
Reverentes fas pium & hospitalem mensam:
Illum quidem invitus occidit jaculans per nacturnam caliginem
Hercules, nihilominus tamen animum Deæ in iram concitavit
Sed postquam justis hospitem honoraveritis mortuum (Rheæ.
Tum statim Dindymon, Rheæ sedem, ascendentes,
Placationibus sacris terræ placate filiam,
Rudentesque tollentes, tunc demum recordemini navigationis.
Sic dicens dea, reversa est, instar sagittæ
In cœlum surrepta. Hujus verò somnus statim dissipatus est,
E puppeque celeriter desiliit, excitavitque populum clamore,
Parietibus hinc atque illic suffultos, dormientes,
Animo tremens, statimque heroibus somni
Visiones omnibus narravit, cursim recensens.
Hi verò celeriter surrexerunt, in littusque desiliit unusquisque.
Aurora interim, aureas habenas regens, obscuri poli
Ortum apperuit, recepitque cœlum diluculum:
Tuncque proceres Minyæ mortuum agnoverunt
Sanguine & pulvere fœdatum. Circum enim alii
Bellicosi circumjacebant, ingentia corpora ferarum.

Hi

Ἀλλ' οἱ μὲν βασιλῆα περισταδὸν ἀμφιχυθέντες
Κύζικον εὐξέστοισιν ὑπὸ πλακέεσσιν ἔθηκαν,
Ἂν δ' ἄρα τύμβον ἔχευαν, ἐδωμήσαντο δὲ σῆμα.
Φιτροὺς δ' αἶψα κόμιζον, ἰδ' ἔντομα πορσύνοντες
Παμμέλαν' ἐν βόθροις κατεκαίαθον. αὐτὰρ ἔγωγε
Ψυχὴν ἱλασάμην, σπένδων μειλίγματα χύτλων
Ὕδατί τ' ἠδὲ γάλακτι, μελισσορρύτων ἄπο νασμῶν,
Λοιβαῖς συμπροχέων, καὶ ἐμοῖς ὕμνοισι γεραίρων.
Αὐτὸς δ' αἰσονίδης προὐθήκατο πᾶσιν ἄεθλον
Τυμβιδίου ἐπ' ἀγῶνος ἑταίροις ἔμμεν' ἄεθλα,
Δῶρα τά οἱ πόρεν ὑψιπύλη λήμνοιο φέρεσθαι·
Ἀγκαίῳ μὲν δῶκε πάγης γέρας ἀμφικύπελλον
Χρύσειον πολυχανδὲς ἔχειν· πηλῆϊ δ' ἔδωκε
Θάσσονι σταδίοισι, ποδωκείης ἕνεκα σφῆς,
Χλαῖναν φοινικέην, πολυδαίδαλον ἔργον ἀθήνης.
Αὐτὰρ παγκρατίοιο δόκεν γέρας ἡρακλῆϊ,
Ἀργύρεον κρητῆρα παναίολον. ἱππασίης δὲ,
Κάστορι, χρυσείων φαλάρων πολυτεχνέα κόσμον.
Πυγμαχίης δὲ τάπητα λιανθέα, δῶκε φέρεσθαι
Ἀθλοφόρῳ πολυδεύκει· ὃ γὰρ κλυτὸν ἤρατο νῖκος.
Αὐτὸς δ' εὐκαμπὲς τόξον λάβεν ἠδ' ἄρ' ὀϊστούς.
Τεινόμενος δέ οἱ ἧκε βέλος, τὸ δ' ἀπέπτατο τηλοῦ.
Δῶκε δ' ἄρ' αἰσονίδῃ μινύης λόχος εἵνεκα τιμῆς
Πλέξας εὐανθῆ στέφανον τανυφύλλου ἐλαίης.
Αὐτὰρ ἐμοὶ μολπῆς γέρας ὤπασε δῖος ἰήσων,
Ἐμβάδα χρυσείην γε τιταινομένην πτερύγεσσι.
Λῦτο δ' ἀγὼν, φήμη δὲ διέπτατο δώματος εἴσω
Κυζίκου οἰχομένου· τοῦ δ' ὡς κλύε σύγγαμος αἰνὴ,
Στήθεα δρυπτομένη λίγ' ἐκώκυεν. ἀμφὶ δὲ δειρῆς
Ἁψαμένη μήρινθα, βρόχῳ ἀπὸ θυμὸν ὄλεσσε.

Ἐῆ

× Ἀρχ παλης

Hi verò regem undique circumfusi
Cyzicum benè rasis tabulis imposuerunt,
Tumulumque effoderunt, ædificaveruntque monumentum.
Stipitesque celeriter contulerunt, & inferias parantes
Nigras, in scrobibus combusserunt. Ast ego
Animam placavi, libans placamenta inferiarum
Aqua & lacte, mellifluis à fontibus,
Libationibus eam adspergens, & meis hymnis honorans.
Ipse verò Æsonides proposuit omnibus præmium,
Sepulcralis certaminis sociis
Dona, quæ ei dedit Hypsipyle ex Lemno afferenda.
Ancæo quidem dedit palæstræ præmium, calicem
Aureum valde capacem: Peleo verò dedit
Vincenti stadiis, pedum celeritatis caussa suorum,
Chlænam purpuream, artificiosum opus Minervæ.
Sed quinquercii dedit præmium Herculi,
Argenteum craterem multum variegatum. Equestrisque certa-
Castori, aurearum phalerarum insignem ornatum. (minis
Pugilatûs verò, tapetes valde amœnos dedit
Victori Polluci; ille enim inclutam retulerat victoriam.
Ipse verò benè flexum arcum cepit & sagittas:
Tendens enim arcum emisit sagittam quæ evolavit longissimè.
Dedit verò insuper Æsonidi Minya classis honoris caussa
Texens floribus ornatam corollam longæ frondis olivæ.
Sed mihi cantûs præmium dedit divus Iason
Cothurnum aureum extensis alis.
Et sic dissolvebatur certamen, fama verò volavit in domum us-
Cyzici interemti. Hoc verò ut audivit uxor infelix. (que
Pectora lacerans valdè flevit, circa verò collum
Implicans funem, laqueo animam perdidit.

Ter

Γῆ δ' ὑποδεξαμένη πλακὶ δάκρυα πίδακος ἧκε
Βλύζουσ' ἀργυροειδὲς ὕδωρ κρήνης ἀπὸ μέσης,
Ἀέναον· κλεινὴν δὲ περικτίονες καλέουσι.
Καὶ τότε δὴ βασιλῆες ὀνειροπόλον διὰ πύστιν,
Κνημὸν ἐπὶ ζάθεον, καὶ Δίνδυμον ἀκρώρειαν,
Ὄφρά κε μειλίξαιντο εὐοινίστοις ἐπὶ λοιβαῖς
Ῥείην πρεσβυγενῆ, θυμὸν δ' ἀλέαιντο ἀνάσσης.
Αὐτὰρ ἐγὼν ἑπόμην, φόρμιγγα δὲ χερσὶν ἄειρον.
Ἄργος δ' αὖθ' ἵκανε λιπὼν εὐεργέα νῆα,
Ὅσγε τανυφλοίου ἐλάτης, ἀμφιπλεκὲς ἔρνος
Ἀμπέλου ἀναλέης ὀξεῖ ἀπέκερσε σιδήρῳ·
Ξέσσε δ' ἐπισταμένως βρέτας ἱερὸν ἰδμοσύνησι
Μίμνειν ἔμπεδον αἰὲν ἐπ' ἐσσομένοις ἀνθρώποις.
Λάασι δ' εὐτύκτοις δωμήσατο οἶκον ἀνάσσῃ.
Ἐν δ' ἄρ' ἐπειγόμενοι Μινύαι (μέγα δ' ἔξοχα πάντων
Αἰσονίδης) λιθάκεσσιν ἀρηρότα βωμὸν ἔτευξαν.
Οἱ ἔπι ταυροθύτους λοιβὰς ἠδ' ἱερὰ καλὰ
Ῥέξαν ἀριστῆες· σπονδαῖσι δ' ἐτέρπετο Ῥείη·
Αὐτὰρ ἔμ' ἤνωγον κλῆσαι θεὸν ἠδὲ γεραίρειν,
Ὄφρά κεν αὐτομένοις νόσον μελιηδέ' ὀπίσσω·
Ἀλλ' ὅτε δὴ θυέεσσι λιτῇσί τε γουνασάμεσθα,
Ἀργώην ποτὶ νῆα κατήλθομεν, ἐν δ' ἄρα Τῖφυς
Ἥρωας πρύμνηθεν ἐκέκλετο· σὺν δ' ἄρα πάντες
Ἐσσύμενοι θώκοισιν ἐπὶ προτέροισι κάθιζον,
Βάντες ὑπὲρ θώκοιο, καὶ εἰρεσίης μνώοντο.
Ἀπροφάτως δ' ἀπὸ γῆς λεπτοὶ λύοντο κάλωες,
Πείσματα δ' ἡπλώθη· κραιπνὸν δ' ἀπὸ Δινδύμου ἄκρης
Ἵκμενον οὖρον ἐφῆκε Ῥέη λιπαροκρήδεμνος.
Ἡμεῖς δ' αὖτ' ἐπὶ νηῒ γεράσμια πέμπομεν ἱερά,
Βωμὸν ἐπιστέψαντες ἐπεσσομένοισι πυθέσθαι

Πεισμα-

Terra autem recipiens latè lacrymas, fontem emisit;
Protrudens argento similem aquam fonte ex medio
Semper scaturientem. Cliten verò incolæ appellant.
Et tunc reges ob religionem nocturnorum monitorum,
Verticem in divinum & Dindymon cacumen (adscenderunt)
Ut placarent vino abundantibus libationibus
Rheam annosam, animumque recrearent reginæ.
Posteà ego sequutus sum, lyram manibus tenens.
Sed & Argus venit relinquens affabrem navem,
Quia corticosa abiete implexum ramum
Vitis aridæ acuto præcidit ferro:
Sculpsitque ex eo doctè idolum sacrum ex arte
Ut maneret ibi constanter semper apud posteros:
Lapidibusque benè cæsis ædificavit domum Reginæ.
Inde ardentes Minyæ (maximè verò omnium
Æsonides) ex lapidibus elegantem aram struxerunt.
Super quam infernalia libamina & sacra grata
Fecerunt proceres, libationibusque delectabatur Rhea.
Sed me jusserunt celebrare Deam & honorare,
Ut nobis supplicantibus dulcem reditum largiri velit.
Sed postquam sacrificiis & precibus supplicavimus,
Argoam ad navem descendimus, inde Tiphys
Heroes ad navem vocavit, simulque omnes
Irruentes, transtris in prioribus considebant,
Transtra reliqua transcendentes, & remigationis recordaban-
Sponte verò à terra tenues dissoluti sunt funes, (tur.
Rudentesque extensi sunt, velocemque à Dindymi vertice
Secundum ventum immisit Rhea eleganter turrita.
Nos verò rursus apud Navem splendida obivimus sacra,
Aram coronantes, quæ posteris audiret

Peisma-

Πεισματίην, τόθι πείσμαθ' ἐεργομένης λύθεν ἀργοῦς.
Αὐτὰρ ἐπεί γ' ὀθόνας ἀκάτου πλήρωσεν ἀήτης,
Θεῖνε διαπρήσσουσ' ἁλιμυρέα κύματα πόντου,
Μύσια δὲ σχεδόθεν παραμείβετο πείρατα γαίης.
Αἶψα δὲ ῥυνδακίους προχοὰς ἤμειψε θέουσα,
Καλούς τ' ἐς λιμένας ψαμαθώδεας εἰσεπέρησε,
Κέλσε δ' ἔσω αἰγιαλῷ· προτόνοις δ' ἐπὶ χεῖρα βαλόντες,
Ἱστία μηρύσαντο καὶ ἀμφ' ἱμᾶσιν ἔδησαν·
Κλίμακα δ' ἐξώκειλαν ἐπὶ χθονὸς, ἐκ δ' ἔβαν αὐτοὶ
Σίτου καὶ πόσιος λελιημένοι· ἀμφὶ δὲ κναμὸς
Ἀρζάνθου κατέφαινε, βαθυσκόπελοί τε κολῶναι.
Ἡρακλέης δ' ἠπείγετ' ἀν' ὑλήεντας ἐναύλους,
Τόξον ἔχων παλάμαις ἰδὲ τριγλώχινας ὀϊστούς·
Ὄφρα κε θηρήσαιτο, πόροι δ' ἐπὶ δόρπον ἑταίροις,
Ἢ σύας, ἢ πόριν κεραὴν, ἢ ἄγριον αἶγα.
Τοῦ δ' ἀφαμαρτήσαντος ὕλας ἐξήκετο νηὸς,
Λάθρα ἐπισπόμενος· σκολιῆς δ' ἀλίτησεν ἀταρποῦ,
Ὕλῃ ἐνιπλαγχθεὶς, ἐν δὲ σπέος ἤλυθε νυμφῶν
Λιμνακίδων· αἵ δέ σφιν ἐσαθρήσασαι, ἰόντα
Κοῦρον ἔτ' ἀντίθεον, κατερύκανον, ὄφρα σὺν αὐταῖς
Ἀθάνατός τε πέλῃ καὶ ἀγήραος ἤματα πάντα.
Ἀλλ' ὅτε πρὸς μεσάτην ἠῶ φέρεν ὠκέας ἵππους
Ἠέλιος, κραιπνὸς δ' ἐξ οὔρεος ἔπνεεν οὖρος,
Ἐν δ' ἔπεσ' ἀργεννῇς ὀθόναις. τῖφυς δ' ἐγεγώνει
Νηὸς ἔσω περάαν, θινὸς δ' ἐκ πείσματα λύειν·
Οἱ δὲ κυβερνητῆρος ἐφημοσύναις ἐπίθοντο.
Εἰλατίδης δ' ἀνὰ πρῶνα θοῶς πολύφημος ἔβαινεν,
Ὄφρα κεν ἡρακλῆα θοῶς ἐπὶ νῆα καλέσσαι.
Ἀλλ' οὔ οἱ ξύμβλητο. μολεῖν γάρ οἱ οὔτι πέπρωτο
Φᾶσιν καλλίροον μένος ὄβριμον ἡρακλῆος.

Αὐτὰρ

Piesmatia, eò quod funes ibi detentæ dissoluti sunt Argo.
Sed postquam vela navis implevit ventus,
Verberavitque sulcans salsos fluctus ponti,
Mysiæ propè transivit confinia terræ:
Statimque Ryndacia ostia penetravit currens,
Pulcrosque in portus arenosos intravit
Appulitque ad littus. Funibus verò manus injicientes,
Vela convolverunt, & loris circumligarunt.
Scalamque demiserunt in terram, descenderuntque ipsi
Cibum & potum desiderantes. Circum verò collis
Arganthi apparuit, excelsique vertices.
Hercules verò properabat ad nemorosos recessus,
Arcum tenens manibus atque tricuspides sagittas:
Ut venaretur, præberetque ad cœnam sociis
Aut sues aut juvencam cornutam, aut agrestem capram.
Illo verò deviante, Hylas egressus est navi,
Clam sequutus, obliquaque & ipse deerravit via,
In sylva oberrans, inque speluncam venit Nympharum
Palustrium. Hæ verò illum conspicientes
Adolescentem adhuc Diis similem, interceperunt, ut cum ipsis
Immortalisque esset & senii nescius in omne ævum.
Sed postquam ad medium diem tulit celeres equos
Sol, velox ex monte spiravit ventus secundus,
Inciditque candidis velis: Tunc Tiphys jussit
Navem conscendere, & à littore funes solvere:
Hi verò gubernatoris monitis obtemperarunt.
Elatides verò in cacumen montis Polyphemus celeriter ascendit,
Ut Herculem citò ad navem vocaret.
Sed non ipsi occurrebat, non enim fata concedebant ut veniret
In Phasin pulcrè fluentem robur forte Herculis,
Ast

Αὐτὰρ ἐπ' ἠῶοι λυγρὴν ἐπεράσσαμεν αἶαν,
Ἔνθ' Ἄμυκος Βεβρύκεσσιν ὑπερφιάλοισιν ἄνασσεν·
Ὅστε πανομφαίου Ζηνὸς θέμιν οὐκ ἀλεγίζων,
Ἄθλον ἐπὶ ξείνοισι περικτιόνων ἀνθρώπων,
Ὅστις ἐπὶ σταθμοὺς ἢ δ' ἀστεμφῆ δόμον ἵξῃ,
Θήκατο πυγμαχίης ὑπερόπλου πειρηθῆναι.
Τὸν μὲν ἄρ' ἠΐστωσε βίῃ κρατερὸς Πολυδεύκης,
Τύψας ἀπροφάτως κεφαλὴν σκληροῖσιν ἱμᾶσι.
Λαοὺς δ' αὖ Βεβρύκων Μινύαι χαλκῷ κατένηρον.
Ἐνθάδ' ἀφορμηθέντες, ὑπ' εἰρεσίῃ γὰρ καμόντες,
Βιθυνῶν μέγα ἄστυ πλατείῃ κέλσαμεν ἀκτῇ,
Σπεύδοντες προχοαῖς, ἠδ' ἐν νιφάργεσιν ὕλαις
Ἕσπεροι αὐλισθέντες ἐφοπλισσάμεθα δόρπον·
Ἔνθα τότ' αἰνόγαμος Φινεὺς ὑπερήνορι θυμῷ
Δοιοὺς ἐξαλάωσε γόνους, προβλῆσί τε πέτραις
Θηρσὶν ἑλὼν προὔθηκε γυναίων εἵνεκα φίλτρων·
Τοὺς γὰρ καὶ ἀσκηθεῖς καὶ ὀπωπότας αὖθις ἔτευξαν
Παῖδε κλυτοῦ Βορέου· Φινεῖ δ' ἄρα ὤπασαν ἄτην
Ἀργαλέοιο κότου, φωτὸς δ' ἀπενόσφισαν αὐγάς.
Αὐτὰρ ἐπεὶ ζαμενὴς Βορέης στροφάδεσσιν ἀέλλαις
Ἁρπάξας ἐκύλινδεν ὑπὸ δρυμὰ πυκνὰ καὶ ὕλας
Βιστονίης, ἵνα κὴρ ὀλοὴν καὶ πότμον ἐπίσπῃ.
Αὐτὰρ ἔπειτα Φινῆος ἀγηνορίδαο λιπόντες
Αὖλιν, ὑπὲρ μέγα λαῖτμα θαλάσσης ἐξικόμεσθα
Ἄγχου κυανέαις πέτραις, ἃς μοι ποτὲ μήτηρ
Ἡμετέρη κατέλεξε περίφρων Καλλιόπεια.
Οὐ γὰρ οἱ ἐξυπάλυξις ὀϊζυροῖο πόνοιο,
Ἀλλὰ κατειρυμέναι ἀνέμων ὀργῆσιν ἀέλλαις
Ξυμβλῆτες πίπτουσιν ἐπ' ἀλλήλαισιν ἰοῦσαι·
Δοῦπος τ' ἀμπέλαγός τε καὶ οὐρανὸν εὐρὺν ἵκανεν

Ῥηγνυ-

Ast summo mane ad funestam advenimus terram
In qua Amycus Bebrycibus perjuris imperavit.
Qui omniscii Jovis vindictam non curans,
Certamen hospitibus circumhabitantibus
Quicunque in regionem aut contumeliosam domum suam veni-
Indixit, ut eos pugilatu insolenti tentaret, (*rent,*
Hunc quidem delevit robore præcellens Pollux
Percutiens ruditer caput duris cæstibus.
Turbam verò Bebrycensium Minyæ ferro deleverunt.
Inde verò solventes, & remigatione defatigati,
Bithynorum ad magnam civitatem lato appulimus littore,
Properantes per ostia, & in nivosis sylvis
Vespertini pernoctantes paravimus cœnam.
Ubi tunc infelix Phineus generoso animo
Duos excœcavit filios, prominentibusque in petris
Feris prædam exposuit, muliebrium caussa illecebrarum.
Hos verò sanitati restituerunt & visum reddidere
Filii incluti Boreæ. Phineo verò e contrario damnum intulere
Difficilis iræ, oculorumque abstulerunt lumen.
Sed posteà vehementissimus Boreas vertiginosis procellis
Abreptum, devolvit in densa querceta & sylvas
Bistoniæ, ut fatum perniciosum & fortunam lueret.
Tum Phinei Agenoridæ linquentes
Tentorium, super magnas plagas maris evasimus
Prope usque ad Cyanea saxa, de quibus mihi aliquando mater
Nostra narravit sapiens Calliope.
Illis verò nulla requies à molesto labore,
Sed impulsa ventorum adversis procellis
Complosa cadunt in invicem,
Fragorque latè trans mare & spaciosum cœlum vagatur

Ruptæ

Ῥηγνυμένοιο κλύδωνος ὀρινομένης τε θαλάσσης,
Κύματι παφλάζοντι περιβρέμει ἄσπετος ἅλμη.
Ἀλλ' ἐγὼ Αἰνιάδῃ τάδ' ἀπὸ γλώσσης ἀγόρευσα,
Πρύμναν ἔπειθ' ὁρόειν, ὄφρ' ἂν πεφυλαγμένος εἴη.
Τοῦ δὲ καὶ εἰσαΐοντος ἐπαχνώθη φίλον ἦτορ,
Ἐν στέρνοισι δὲ κεῦθεν, ἅ οἱ τελέεσθαι ἔμελλεν,
Μοῦνος ἀφ' ἡρώων. ἀλλὰ γλαυκῶπις ἀθήνη
Ἥρης ἐννεσίῃσιν ἐρωδιὸν ἧκε φέρεσθαι
Ἄκρην ἱστοκεραίαν. ὁ δ' ἀσχαλόων πεπότητο·
Πέτραις δ' ἐν μυχάτῃσιν ὑπὸ πτερύγεσσιν ἀερθεὶς
Δινήθη. ταὶ δ' αἶψα κερδαινόμεναι ἑκάτερθεν
Σύμπεσον ἀλλήλαισι, καὶ οὐρῆς ἄκρον ἔκερσαν
Ὄρνιθος· περὶ δὲ σφιν ἐτώσιον ἠρείσαντο.
Τῖφυς δ' ἐκπρολιπόντος ἐρωδιοῦ αἰπὺν ὄλεθρον,
Σῖγα μὲν ἡρώεσσιν ἐκέκλετο· τοὶ δ' ἀΐοντες,
Ἱέμενοι θοὰ κύμαθ' ὑπειρεσίῃσι χάρασσον.
Αὐτὰρ ἐγὼ μολπῇσι παρήπαφον ἡμετέρῃσι
Πέτρας ἠλιβάτους· αἳ δ' ἀλλήλων ἀπόρουσαν.
Κῦμα δ' ἀνερρόχθησε. βυθὸς δ' ὑπόεικαθε νηΐ,
Ἡμετέρῃ πίσυνος κιθάρῃ, διὰ θέσκελον αὐδήν.
Ἀλλ' ὅτε δὴ πορθμοῖο κατὰ στόμα καὶ διὰ πέτρας
Κυανέας ἤμειψε λάλος τρόπις, αὐτίκ' ἄρ' αἵ γε
Βυσσόθεν ἐρρίζουντο, καὶ ἔμπεδον αἰὲν ἔμιμνον.
Οὕτω γὰρ μοῖραι τὰ δ' ἐπεκλώσαντο βαρεῖαι.
Καὶ τότε δὴ προφυγόντες ἀδευκέα πήματ' ὀλέθρου,
Ῥηβάνου προχοαῖσι μέλαιν' ἐξικόμεθ' ἀκτὴν
Νῆσον ὑπὲρ δολιχὴν Θυνηΐδα, τῆς ἀπάτερθεν
Τέμβρος ἰχθυόεις θαλερῇσι πλημμύρεται ὄχθαις,
Σαγγάριός θ' ὃς κύματ' ἐπιτρέχει εὐξείνοιο.
Ἀλλ' ὅτ' ἐπ' αἰγιαλῶν ἐπενεισάμεθ' εἰρεσίῃσιν,

Ἀμφὶ

Ruptæ undæ commotique maris.
Et fervente fluctu perstrepit immensum mare.
Hæc ego Hagniadi jam ante prædixeram
Ut puppi prospiceret, ne quid detrimenti caperet,
Quo ille audito, animo obstupuit,
In pectore verò occultavit quæ futura erant,
Solus inter Heroes. Sed cæsios habens oculos Minerva,
Junonis monitis Ardeam emisit, quæ delata est
Ad summitatem antennæ. Illa verò tristis volavit.
In ipsis verò penetralibus petrarum alis elata,
Circumacta est, Illæ verò hinc atque illinc vibratæ alternatim
Concidebant invicem & uropygii extremum detondebant
Avis; Frustraque invicem collisæ sunt.
Tiphys verò, evadente ardea periculum perniciosum,
Submissa voce heroas adhortatus est. Illi verò hoc advertentes,
Gestientes celeres undas remigiis sulcarunt.
Ast ego cantibus fefelli nostris
Petras excelsas; Illæ vero ab invicem recesserunt.
Fluctusque discissi sunt, abyssusque concessit navi,
Nostra persuasus cithara, propter divinum cantum.
Sed quando freti fauces & petras
Cyaneas evasit garrula carina, tunc statim illæ
In imo stabilitæ sunt, & firmè ita semper permanserunt.
Ita enim hæc Parcæ destinarunt graves.
Et tunc elapsi ex amaris exitiis lethi,
Per Rhebantis ostia in Nigrum littus evasimus
Insulam in longam Thyneidem, ubi
Tembrius pisculentus virescentibus exundat ripis,
Sangariusque qui in fluctus Euxini se exonerat.
Sed quum ad littora navigassemus remigiis,

Ἀμφὶ λύκοιο ῥέεθρον ἐκέλσαμεν, ᾧ ἔπι λαοῖς
Κραῖνε λύκος ποταμοῖο φερώνυμος, ὅς ῥ' ὑπέδεκτο
Ἥρωας μινύας, ξενίῃ, δ' ὑπέδεκτο τραπέζῃ,
Φίλετο δ' αὖ νύκτας τε καὶ ἤματα συνεχὲς αἰεί.
Ἔνθα δὲ αἶσα παρέσχε καταφθιάσθαι δύο φῶτας,
Ἀμπυκίδην ἴδμωνα, κυβερνητῆρά τε τῖφυν.
Τοῦ μὲν δὴ καὶ σῶμα λυγρὴ ἠρείσατο νοῦσος,
Τὸν δ' ἔκτεινεν θὴρ σῦς ἄγριος· αὐτὰρ ὁ τοῖς γε
Τύμβους χευάμενοι πλείω ἐπένησαν θαλλῆν,
Ἀγκαίῳ πίσυνοι. τὸν γὰρ φάσαν ἴδριν ἅπαντες
Ναυτιλίης, σφετέρῃσι δαημοσύνῃσι κεκάσθαι.
Αὐτὰρ πηδαλίων οἰήια λάζετο χερσὶ,
Νῆα κατιθύνων ἐπὶ παρθενίοιο ῥέεθρα,
Ὃν δὴ καλλίχορόν μιν ἐπώνυμον οἱ καλέουσιν,
Ὅντοι ἐγὼ μύθοισιν ἐπὶ προτέροισιν ἔλεξα.
Ἔνθεν ἄκραν προβλῆτα παραπλώσαντες ἔβημεν
Γῆν ἐπὶ παφλαγόνων, τὴν δὴ παράμειψε θέουσα
Ἀργὼ ὑπὲρ μέγα λαῖτμα· καραμβιάκην δ' ἵκετ' ἄκρην,
Ἡ ἐνὶ θερμώδων κεῖται, ἅλυός τε ῥέεθρον,
Βάλλον ἐπ' αἰγιαλὸν δίνας ἁλιμυρέας ἕλκον.
Νέρθε δ' ὑποθρώσκουσι βορειάδος ἀντίον ἄρκτου
Μακρὰ θεμισκύρης βοιαντίδος ἄψεα κεῖται.
Ἄγχι δ' ἀμαζονίδων δαμνίππων ἄστεα κεῖται,
Καὶ χάλυβες, τιβαρηνά τ' ἔθνη, λαοί τ' ἐπίχειρες
Μίγδην ἐν μοσύνοισι πέδον προσναιετάουσι.
Λαιὰ δ' ἐπιπλώσαντες ἐκέλσαμεν αἰγιαλοῖσι,
Ἧχί τε μαῦροι ἔσαν μαρανδούροισιν ὅμουροι.
Νέρθε δέ τοι ἑλίκης δολιχὸς παρακέκλιται αὐχὴν,
Ἔνθα δ' ὑπωρείῃσιν ἐπὶ προβλῆσι κυκλοῦνται
Τηλεφανεῖς αὐλῶνες ὑπὲρ μυχὸν εὐρέα κόλπου·

Circa Lyci fluentum appulimus, ubi populis
Imperavit Lycus, fluvii nomen gerens, qui sanè excepit
Heroas Minyas, hospitalique recepit mensa,
Amavitque eos noctesque diesque semper.
Ibi etiam Parca fecit mori duos viros,
Ampyciden Idmona, gubernatoremque Tiphyn.
Illius quidem corpus tristis abstulit morbus
Hunc verò interemit fera sus Sylvestris. Nos verò his
Busta struentes, cavum navigavimus super mare
Ancæo confisi: Illum enim dicebant peritum omnes
Navigationis, suisque artibus ornatum.
Ast ille gubernaculorum lora accepit manu,
Navem gubernans super Parthenii fluenta
Quem quidem Callichoron cognomine vocant
Cujus ego verbis superioribus mentionem feci.
Illinc verticem eminentem præternavigantes, discessimus
Terram ad Paphlagonum, hanc verò evitavit currens
Argo per magnum pontum, ad Carambiamque crepidinem,
In qua Thermodon jacet Alyosque fluentum.
Ad littora ejiciens fluctus in mare labentes in transitu.
Inferiùs paulo navigantibus Borealis e regione Arcti
Magna Themiscyræ Dœantidos membra jacent.
Adjacentque Amazonum equestrium urbes.
Et Chalybes, Tibarinique populi, populique vicini
Mixtim in Mosynis regionem circumhabitant.
Sinistra verò adnavigantes appulimus ad portus
Ubi Tauri erant, Mariandynis vicini. (jugum,
Adhuc inferius, septentrionem versus, longum protenditur
Illinc quoque cacuminibus supereminentibus vallantur
Longè apparentes valles supra latum penetrale sinus

Οὗ σύμης ὄρος ἐστὶ, πολύς τ' εὐθαλὴς λειμών·
Ἐνθάδ' ἀράξου ῥεῦμα μεγαβρεμέτου ποταμοῖο,
Ἐξ οὗ θερμώδων, Φᾶσις τάναΐς τε ῥέουσιν,
Οὗ κόλχων κλυτὰ φῦλα καὶ ἡνιόχων καὶ ἀραξῶν.
Ὃν παραμειβόμενοι, μυχάτοις ἐπεπλώομεν ὅρμοις
Οὔρων, χιδναίων τε, χαραδναίων, σολύμων τε.
Ἀσσυρίων τελέων. τρηχὺν δ' ἀγκῶνα σινώπης
Καὶ φιλύρας ναέτας τε, καὶ ἄστεα πυκνὰ σαπείρων.
Βύζηράς τ' ἐπὶ τοῖσιν, ἰδ' ἄξενα φῦλα σιγύμνων.
Ἵκτο δ' ὑπὸ πνοιῆς ἀνέμου πλησίστιος ἀργὼ
Ὄρθριον ἐρχομένης ἠοῦς ἐπ' ἀπείρονα κόσμον
Ἕσπερ' ἐπ' ἀξείνου, Φᾶσιν κατὰ καλλιρέεθρον.
Ἀγκαῖος δ' ἤνωγε παραιφάμενος ἐπέεσσι,
Λαίφεά τε στέλλειν, καὶ ἐπ' ἰκρίον αὖθι χαλάσσαι,
Ἱστὸν ἀνακλίναντας, ὑπ' εἰρεσίῃ δὲ νέεσθαι.
Αὐτὰρ ἐπεὶ ποταμοῖο διὰ στόμα τρηχὺ ῥέοντος
Ἱκόμεθ', αὐτίκ' ἄρα στέφανον καὶ τεῖχος ἐρυμνὸν
Αἰήτου κατέφαινε καὶ ἄλσεα· τοῖς ἔπι κῶας
Χρύσεον ἠώρητο χαλαζαίῃ ἐπὶ φηγῷ.
Ὣς οἱ μὲν τὰ ἕκαστα πονήατο· αὐτὰρ ἰήσων
Αὐτίκα μερμήριζε κατὰ φρένα καὶ κατὰ θυμόν.
Ξείνην μὲν μινύαισιν ἄδην ἀνενείκατο φωνὴν,
Ἠέγ' ἐπ' αἰήταο μόλῃ δόμον οἶος ἀπ' ἄλλων,
Μειλιχίοις στέρξῃ τε παραιφάμενος ἐπέεσσιν·
Ἠὲ μεθ' ἡρώεσσι καὶ ἐς μόθον αὐτίκα λεύσσοι.
Ἀλλ' οὐ γὰρ μινύαισιν ἐπήνδανε πᾶσι νέεσθαι.
Δεῖμα δ' ἐνὶ φρεσὶ θῆκε θεὰ λευκώλενος ἥρη,
Ἀμβολίην θ', ἵνα δὴ τελέσῃ τὰ περ αἶσα γενέσθαι.
Ὦκα δ' ἄρ' οὖλον ὄνειρον ἀπ' οὐρανοῦ ἧκε φέρεσθαι
Εἰς δόμον αἰήταο· συθεὶς δ' ὅγε δεῖμα πέλωρον

Ἔσκηψεν

Ubi mons Symes est ingensque virens pratum:
Ibique Araxi fluxus valdè strepentis fluvii,
Ex quo Thermodon Phasis Tanaisque fluunt,
Ubi Colchorum incluta gens & Heniochum & Araxonum,
Quem trajicientes, extremos adnavigavimus portus
Urorum, Chidnæorumque Charandæorum Solymorumque
Assyriorum ultimorum, asperumque verticem Synopes
Et Philyræ incolas, & civitates densas Sapeirum,
Byzerasque præterea & inhospitales gentes Sigynnorum.
Progressa verò est secundo vento plenis velis Argo,
A mane, surgente aurora super immensum mundum,
Usque ad Vesperam immitem, in Phasin pulcrum fluentum habentem.
Ancæus verò jussit, admonens verbis,
Et vela contrahere, & antennas solvere,
Maloque reclinato, remigio iter facere.
Sed postquam fluvii orificium tranquille fluentis
Intravimus, tunc statim murus & mœnia munita
Æetæ apparuerunt & luci. In quibus pellis
Aurea pendebat humili in fago.
Sic quidem singula peracta sunt. Posteà Jason
Statim volutavit in mente & in animo,
Communemque Minyis dubiam proposuit quæstionem;
An ad Æetæ domum ire solus ab aliis,
Lenibusque sedare admonens verbis,
An unà cum Heroibus, & in pugnam statim erumpere debeat?
Sed non Minyis placuit omnibus ire,
Timorem enim mentibus eorum injecit Dea albas ulnas habens Juno
Et cunctationem, ut satisfieret fatis.
Celeriter verò humidum somnium cœlo demisit
In domum Æetæ. Concitatum verò hoc, timorem horrendum

Ἔσκηψεν βασιλῆα περὶ φρένας, ὅς νιν ἔδοξε
Παρθένου ἣν ἀτίταλλεν ἐνὶ μεγάροισιν ἑοῖσι,
Μηδείας κόλποισιν ἐν ἱμερτοῖσι συνθῆναι
Ἀστέρα παμφανόωντα δι' ἠερίοιο πορείης.
Ἥδ' ἐπεὶ ἐν πέπλοισι λάβεν κεχαρηότι θυμῷ,
Ἦκε φέρουσ' εἰς χεῦμα ἐϋρρύτου ποταμοῖο
Φάσιδος· ἀστέρα δ' αἰὲν ἀναρπάξαντα ῥέεθρον
Οἴχεσθαι πόντοιο δι' ἀξείνοιο φέροντα.
Ταῦτα δ' ἐσαθρήσας, δολίου ἐξέσσυτο ὕπνου
Ἀπροφανὲς, συγερὸν γὰρ περὶ φρένας εἵλκετο δεῖμα.
Ἆλτο δ' ἄρ' ἐξ εὐνῆς· δμωσὶ δέ οἱ οὐκ ἐπέτελλεν
Ἵππους ἐντύνειν, ὑπὸ γὰρ ζεύξασθαι ἀπήνην,
Ὄφρα κε μειλίξαιτο κιὼν ἐπὶ ῥεῖθρον ἐραννὸν,
Φᾶσιν δινήεντα, σὺν ἐνδαπίης μέγα νύμφαις,
Ψυχάς θ' ἡρώων ὅσαι τ' ἐπὶ ῥεῖθρον ἄμειβον
Θυγατέρας δ' ἔκλυζε θυώδεος ἐκ θαλάμοιο,
Χαλκιόπην σὺν παισὶν ἀποφθιμένου Φρίξοιο,
Ἠδ' ἁπαλὴν μήδειαν ἀριπρεπὲς εἶδος ἔχουσαν,
Παρθένον αἰδοίην· ὄφρ' ἂν συνέποιντο κιόντι.
Ἄψυρτος δ' ἀπάνευθε δόμους ναίεσκε πόληος.
Ἅρμα δ' ἐπὶ χρύσειον ἔβη μίγα θυγατέρεσσιν
Αἰήτης. τὸν δ' αἶψα δι' ἐκ πεδίου φέρον ἵπποι
Χεῖλος ὑπὲρ ποταμοῦ δονακώδεος, ἔνθα περ αἰεὶ
Εὐχωλαῖς ῥείθροισι καὶ ἱερὰ κάλ' ἐκόμιζον.
Κείναισι δ' ὄχθαισιν ὑπόδρομος ἤλυθεν Ἀργὼ,
Καί ῥα τότ' αἰήτης εἰσέδραμεν, ἐν δ' ἄρα πολλοὺς
Ἑξείης ἥρωας ὁμιλαδὸν ἑδριόωντας,
Ἀθανάτοις ἰκέλους· περὶ γάρ ῥά ἑ τεύχεα λάμπε.
Τοῖσι δ' ἄρ' ἐν πάντεσσι μετέπρεπε δῖος ἰήσων.
Ἥρη γὰρ περὶ πάμπαν ἐτίετο, καί οἱ ἔδωκε

Κάλλος

Incussit regis menti, qui sibi videbatur videre
Cum Virginis, quam curiosè educaverat in palatiis suis,
Medeæ amœno sinu, se conjungere
Astrum præfulgens per aëris meatus.
Quod illa veste suscipiens læto animo,
Tulit in undam latè fluentis fluminis
Phasidos. Astrum verò eam rapiens, per fluctus
Evadere Euxini ponti.
Hæc ita insomniis videns, doloso excitatus est somno
Repente, horrendusque ei circa mentes tractus est timor.
Prosiluit verò è lecto, famulisque confestim imperavit
Equos præparare rhedæque jungere,
Ut placaret, delatus ad fluentum peramabile,
Phasin vorticosum, una cum patriis Nymphis,
Animasque Heroum, quæcunque circa fluentum oberrarent.
Filiasque vocavit odorato ex thalamo
Chalciopen cum liberis mortui Phrixi,
Et teneram Medeam, excellenti forma præditam,
Virginem pudicam, ut simul sequerentur euntem.
Absyrtus verò separatim domos habitavit civitatis.
Currum verò aureum conscendit cum filiabus
Æetes: Illum verò statim per campum tulerunt equi
Ad ostium fluvii arundinosi, ubi semper aliàs
Vota fluentis, & sacra pulchra fecerunt.
Illasque ad ripas currens venit Argo,
Et sanè tunc Æetes acceleravit, ibique multos (conspexit)
Ordine Heroas congregatim Sedentes,
Immortalibus similes, circa ipsos enim arma splendebant.
Illos verò inter omnes excelluit divus Jason.
Juno quippe eum præ omnibus æstumavit, illique dedit

Κάλλος τε μέγεθός τε καὶ ἠνορέην ὑπέροπλον.
Ἀλλ᾽ ὅτε δὴ σχεδὸν ὄντες ἐπ᾽ ἀλλήλοις βάλον ὄσσε,
Αἰήτης μινύαι τε περὶ φρένα παχνώθησαν.
Πρόσθε γὰρ αἰήτης μὲν ἐφ᾽ ἅρματος ἠέλιος ὣς
Λάμπετο μαρμαρυγῇσι πέρι χρυσέων ἀπὸ πέπλων.
Ἀμφὶ δέ οἱ στεφάνην κεφαλὴ ἔχε θυσανόεσσαν
Ἀκτῖσιν φλογέαις· σκῆπτρον δ᾽ ἐν χερσὶν ἐνώμα
Ἀστεροπῇς ἴκελον· δοιὼ δ᾽ ἑκάτερθεν ἕστον
Θυγατέρες· τῇς γάρ κεν ἀγαλλόμενος πεφόρητο.
Σμερδνὸν ὑπ᾽ ὀφθαλμοῖσι δ᾽ ἐσέδρακε νηῒ πελασθείς.
Καί οἱ ἀπὸ στηθέων βαρβαρίην ἀνενείκατο φωνήν,
Δεινὸν ὁμοκλήσας· μέγα δ᾽ ἀντιάχων ἐγεγώνει,
Φράζετον ὅιτινες ἐστὲ, τί δε χρέος ὑμᾶς ἱκάνει.
Ἐκ ποθεν ἐλδομένοισι κυτηΐδα γαῖαν ἀμεῖψαι.
Οὐδ᾽ ἄρ᾽ ἐμὴν ἀλέγοντες ἀνακτορίην πεφόβησθε.
Οὐδὲ λεὼν σκήπτροισιν ἐπήρανον ἡμετέροισι
Κόλχων, οἵκεν ἄρηϊ δορυσσόοι εἰσὶν ἀπειρεῖς,
Ἐς μόθον ἱεμένοις εὖ εἰδότες ἶφι μάχεσθαι.
Ὣς ἔφαθ᾽· οἱ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
Αἰσονίδῃ δ᾽ ἄρα θάρσος ἐνὶ πραπίδεσσιν ὄπασσεν
Ἥρη πρέσβα θεά. μέγα δ᾽ ἀντιάχων ἐγεγώνει,
Οὔτε νυ ληϊστῆρες ἱκάνομεν, οὔτε τὴν ἄλλην
Γαῖαν ἐπιστρωφῶντες, ἐγείρομεν ὕβρεος αἴσῃ
Ἔργ᾽ ἀδίκ᾽ ἀνθρώποισιν, ἃ δὴ πολέες μεμάασι·
Τέτλαμεν ἐν βιοτῇ κέρδους ἕνεκεν σφετέροιο.
Ἀλλά μοι ἆθλον ἔταξε ποσειδῶνος φίλος υἱὸς
Πατροκασίγνητος πελίας, χρύσεον ποτὶ κῶας
Λαζομένους ἀφικέσθαι ἐϋκτιμένην ἐς ἰωλκόν.
Οὐδέ τοι δὴ νώνυμοι ἐμοὶ ἐρίηρες ἑταῖροι.
Οἱ μὲν γὰρ μακάρων, οἱ δ᾽ ἡρώων γένος ἐσμέν.

Formam, Staturam & Robur excellens.
Sed postquam propiores facti in invicem jecerunt oculos,
Tam Æetes quam Minyæ obstupuerunt.
Coràm enim Æetes super currum solis instar
Rutilabat radiis undique aureis à vestibus:
Caput verò redimitus erat corona fimbriata
Radiis ardentibus, sceptrum verò in manibus movebat
Fulgoribus simile stellarum. Ambæ verò ab utroque latere se-
Filiæ, quibus superbiens vehebatur. (debant
Terribile oculis tuens postquam navi appropinquasset:
Et è pectoribus frementem emisit vocem,
Horrendum minitans, graviterque reboavit hæc:
Dicite, quinam estis, aut quid vos huc adducit,
Unde & inquorum gratiam Cytaidem terram transitis,
Et spernentes meum imperium, non timuistis:
Neque populum sceptris optabilem nostris
Colchorum, qui vel ipso Marti, hastis impetuosi, sunt insupe-
Contraque hostem benè scientes fortiter pugnare. (rabiles.
Dixit. Nostri autem omnes altè obmutuerunt.
Tandem verò Æsonidi audaciam excitavit in animo
Juno veneranda Dea, nec minori fremitu ipsi respondit:
Neque ut latrones venimus nos, neque aliam quandam
Terram vagabundi invadentes. Fatali injuria coacti, excitamus
Facta injusta hominibus, quæ quidem vehementer desiderant
Patimur nos in vita, lucri caussa Tui. (multi:
Verùm mihi hunc laborem imposuit Neptuni filius
Patruus Pelias, ut non nisi rapta pelle
Reverteremur benè ædificatam in Jolcum.
Neque ignobiles sunt hi charissimi mei socii:
Pars enim Deorum, pars verò Heroum sanguine orti sumus,

 Neque

Οὐδέ τι μὴν πολέμων ἀδαήμονες οὐδὲ μόθοιο,
Ξεῖνοι δ' εὐχόμεθ' εἶναι ἐφέστιοι. ὥς γὰρ ἄμεινον.
Ὣς φάτο· τοῦ δ' ἄρα θυμὸς ὀρίνετο ἶσος ἀέλλῃ
Αἰήτεω, καὶ σμερδνὸν ἐσέδρακεν ὀφθαλμοῖσιν,
Φρικτὸν ἐφ' ἡρώεσσι δόλον καὶ μῆτιν ὑφαίνων.
Ὀψὲ γὰρ δὴ μινύαισι τοίην ἀνενείκατο φωνήν,
Εἰ μὲν δὴ κόλχοισιν ἀρηιφάτοισιν ἐσάντα
Μαρναμένοις ἐπιθῆσθον, ἀποφθίσειν μένος ἄνδρας
Ἔλπεσθ', ὥς κεν ἀδήριτον γέρας ἔσσετ' ἐν ὑμῖν,
Κῶας ἀειρομένους ἰέναι πρὸς πατρίδα γαῖαν.
Εἰ δέ γε ταδροι ἐόντες ὑποκλίνητε φάλαγγι
Ἡμετέρῃ, τότε νῆα καταφθιμένοισι κεάξαι.
Εἰ γὰρ κέ μοι πείθησθε, τὸ καὶ πολὺ κέρδιόν ἐστιν,
Κρίναντες τιν' ἄριστον, ἢ ὃς βασιλεύτερός ἐστιν,
Ὄφρα κε πειρηθεὶς ἀέθλων οὓς αὐτὸς ἐνίσπω,
Κῶας ἕλῃ χρύσειον· ὃ καὶ γέρας ἔσσεται ὑμῖν·
Ὣς εἰπὼν ἵπποισιν ἐκέκλετο· τοὶ δ' ἄρ' ὀπίσσω
Βῆσαν ἀμειβόμενοι. μινύαις δ' ἄχος ἔπλετο θυμῷ
Καί ῥα τόθ' ἡρακλῆος ἔχον πόθον. οὐ γὰρ ἔμιμνον
Ἔθνος ἀμαιμάκετον κόλχων καὶ θοῦρον ἄρην.
Νῦν δέ σοι ὦ μουσαῖε παραδρομάδην ἀγορεύσω
Οἷάπερ αἰνόμοροι μινύαι πάθον ἠδ' ὅσ' ἔρεξαν.
Ὥς τ' ἄψορρος ὄρουσ' ἐκ δώματος αἰήταο
Ἄργος ἐϋμμελίης φρίξου παῖς, ὅν ῥα ἔτικτε
Χαλκιόπη. τῷ γὰρ παρελέξατο, πατρὸς ἐνιπῇ,
Ἡνίχ' ὑπὲρ νώτῳ κριοῦ κόλχοισι πελάσθη,
Ἀγγέλλων μινύαισιν ἃ δὴ τελέεσθαι ἔμελλε
Σφῆσιν ἀτασθαλίῃσι πολυφθόρου αἰήταο.
Ἠδ' ὡς παρθενίοις αὐτοῦ φίλτροις ἐδαμάσθη
Αἰνόγαμος μήδεια, θεᾶς ἥρης διὰ βουλάς.

Ἐν

Neque bellorum imperiti, neque pugnæ: (nè melius est.
Ast nos hospites potius tui domestici esse desideramus, quod sa-
Dixit. Animus verò ad hæc commotus est procellæ instar
Æetæ, & horrendum obtutus est oculis,
Tremendum in heroas dolum & consilium texens.
Tandem verò Minyis talem regessit vocem:
Siquidem Colchos bellicosos ex opposito
Pugnantes invadatis, perdere robore viros
Speretis; tunc sine omni controversia præmium vestrum erit,
Sublata pelle redire in patriam terram:
Quodsi verò pauci vos cedetis phalangi
Nostræ, tunc, victis vobis, navis vestra diffindetur.
Si verò mihi obtemperabitis, id quod multò utilius vobis erit,
Eligetis optimum inter vos, aut qui reliquis sit nobilior,
Ut pertentatus laboribus, quos ipse proponam
Auferat pellem auream; quæ vobis dono tunc esto.
Sic loquutus, equos incitavit. Illi verò retrò
Currebant ab ipsis. Minyis verò dolor versabatur animo
Et sanè Herculis tunc habuerunt desiderium, non enim sustinere
Gentē inexpugnabilē Colchorū & impetuosū(se posse credebant
Nunc verò tibi, o Musæ, breviter enarrabo (Martem.
Qualia infelices Minyæ passi fuerint, quantaque patraverint.
Et quomodo citato cursu transiverit ad Minyas ex ædibus Æe-
Argus bellicosus Phrixi filius, quem peperit (tæ
Chalciope (cum hoc enim concubuerat, patris minis coacta
Tum, quum Phrixus super dorsum arietis in Colchos venit)
Nuncians Minyis omnia quæ peragenda essent
Sceleribus impii Æetæ.
Tum etiam quemadmodum teneris illecebris illius (Jasonis)
Infelix Medea, Junonis nutu. (capta fuerit

Ἐν γὰρ οἱ ἵμερον ὦρσεν ἐρωτοτρόφη κυθέρεια.
Ἧκε δ' ἄρ' ἰὸν ὑπὸ σπλάγχνοις δασπλῆτις ἐριννύς.
Ὥς τε βόας ζεύγλαισι δαμάσσατο πυρὶ πνέοντας,
Τετράγυον θέμενος σπόρον αὔλακι, τόν ῥ' ἐκόμισσε
Φρίξος ἐϋμμελίης, ὅτ' ἔβη δόμον αἰήταο,
Ἔθνον ἐνυάλιόν τε δρακοντείων ἀπ' ὀδόντων.
Ἠ δ' ὡς δυσμενέων σπαρτῶν στάχυν ἐξενάριξεν
Αὐτοφόνῳ παλάμῃ, πῶς δ' ἀγλαὸν ἤρατο κῦδος
Αἰσονίδης. ὥς τ' ἦλθε δι' ἐκ μεγάρων λελαθοῦσα,
Αἴπι καλυψαμένη ἑανῷ διὰ νύκτερον ὄρφνην,
Παρθένος αἰνολεχής. (περὶ γὰρ ῥά ἐπεῖγον ἔρωτες
Νηὸς ἐπ' ἀργώας πελάσαι, καὶ πότνι' ἀνάγκη)
Οὔτιν' ὀπιζομένη πατρὸς χόλον, οὐκ ἀλέγουσα·
Ἡδ' ὡς ἀμφιπλακεῖσα περιπτύξασά τε μορφάς,
Στέρνα τε μαιμώωσα κύσεν χάριέν τε πρόσωπον,
Δάκρυσι πλημμύρουσα γενειάδας. οὐδέ τιν' αἰδῶ
Ἔσχε πόθων ἥρωος. ἐλαυνομένη δ' ὑπὸ φίλτρων,
Παρθενίην ἔρριψε, γάμων τ' ἐπιώσατο θυμόν.
Ἄλλα τ' αὖ πολλὰ καὶ ἐσύστερον αὖθις ἀκούσαι.
Ἀλλ' ὅτε δὴ μήδεια λίπεν δόμον αἰήταο
Λαθριδίη, καὶ νηὸς ἐφ' ἡμετέρης ἐπελάσθη,
Δὴ τότ' ἄρα κατὰ θυμὸν ἐμηδόμεθ' ὄφρα μολόντες
Ἀμφ' ἱερῆς φηγοῖο δέρας χρύσειον ἕλωμεν.
Ῥᾷστα περὶ φρεσὶ δ' ἦσι δοκεύομεν, οὐδέ τις ἡμῶν
Ἔγνω μόχθον ἄελπτον· ἐφέσπετο γὰρ μέγα ἔργον
Πᾶσιν ἐφ' ἡρώεσσι, κακῶν δ' ἀνεφαίνετο πυθμήν,
Πρόσθε γὰρ αἰήταο δόμων ποταμοῖό τ' ἐρυμνοῦ
Ἐννέ' ἐπ' ὀργυιῶν ἕρκος περιμήκετον ἄντην
Φρουρεῖται πύργοισι καὶ εὐξέστοισι μύδροισιν,
Ἑπτὰ περὶ στεφάνοισι κυκλούμενον. ἐν δ' ἄρα τρισσαὶ

Χαλκή-

In ipsa enim desiderium excitavit amores nutriens Cytherea.
Emisitque sagittam in viscera ejus atrox Erinnys.
Tum etiam, ut boves sub jugum miserit ignivomos,
Quatuorque jugerum aratum agrum conseverit semine, quod ap-
Phrixus fortis, quando in domum Æetæ venit, (portavit secum
Dotemque martiam à draconis dentibus.
Et quomodo inimicarum segetum progeniem occiderit
Funesta manu, & quemadmodum magnam gloriam reportaverit
Æsonides. Et quemadmodum clam se subduxerit ex palatio
Albo linteo tenui tecta, per nocturnam caliginem
Virgo infausta. (Amores enim vexantes eam adegerant
Ut ad navem Argo pergeret, & veneranda necessitas)
Ne maximam quidem patris iram reverita, nec curans.
Et quemadmodum amplexa colloque Jasonis circumfusa
Pectoraque cupidissima osculata fuerit & amœnam faciem,
Lacrymis humectans genas, nec ullum pudorem (furore
Habuerit desiderii hujus erga heroëm. Exagitataque amatorio
Virginitatem prostituerit, inque nuptias gestientem animum;
Aliaque multa imposterum audies:
Sed quando Medea reliquit domum Æetæ
Clandestina, & ad navem nostram venit,
Tunc sanè animo consultavimus, quo pacto, eò delati
De sacra fago pellem auream capiamus. (enim nostrum aliquis
Tunc verò facillimo negocio omnia ab ea intelleximus, neque
Scivit laborem insperatum. Insecuta quippe est maxima diffi-
Omnes heroes, malorumque se apperuit vorago. (cultas
Nam ante Æetæ domos & ante munitum fluvium
Septum valde longum, novem ulnis inde distans
Ambit turribus & politis vectibus ferreis,
Quod septem insuper mœnibus cingitur. Inde triplices

Χαλκήρεις πύλαι εἰσὶ πελώριοι· ἐν δ' ἄρα πᾶσι
Τεῖχος ἐπιθρώσκει, περὶ δ' αὖ χρύσειαι ἐπάλξεις.
Αὐτὰρ ἐπὶ σταθμοῖο πυλῶν τηλῶπις ἄνασσα
Ἵστανεν αἰθύσσει πυρὸς σέλας, ἣν κένυ κόλχοι
Ἄρτεμιν ἐμπυλίην κελαδοδρόμον ἱλάσκονται,
Δεινὴν τ' ἀνθρώποισιν ἰδεῖν δεινήν τ' ἐσακοῦσαι.
Εἰ μή τις τελετὰς πελάσει καὶ θύσθλα καθαρμῶν
Ὅσσα περ ἀρήτειρα καθάρματα μύστις ἔκευθε.
Δεινολεχὴς μήδεια κυταϊάσιν μίγα κούραις·
Οὐδέ τις ἐνδοτέρω κείνην ὁδὸν εἰσεπέρησεν
Ἐνδάπιος ξεῖνός τε βροτῶν ὑπὲρ οὐδὸν ἀμείψας.
Εἴργει γὰρ πάντη δεινὴ θεὸς ἡγεμόνεια,
Λύσσαν ἐπιπνείουσα ὑπὲρ γαλινοῖς σκυλάκεσσιν.
Ἐν δέ σφιν πυμάτων μυχῷ ἕρκεος ἄλσος ἀμείβει,
Δένδρεσιν εὐθαλέεσσι κατάσκιον, ᾧ ἔνι πολλαὶ
Δάφναι τ' ἠδὲ κράνειαι ἰδ' εὐμήκεις πλατάνισται·
Ἐν δὲ πόαι ῥίζῃσι κατηρεφέες χθαμαλῇσιν,
Ἀσφόδελος, κλύμενός τε καὶ εὐειδὴς ἀδίαντος,
Καὶ θρύον ἠδὲ κύπειρον, ἀριστερέων τ' ἀμενηνά,
Ὁρμιόν τε καὶ εἰρύσιμον, κυκλαμίς τε θεουδής,
Στοιχὰς, παιονίη τε, καπερνές τε πολύκνημον·
Μανδραγόρης, πολιόν τ', ἐπὶ δὲ ψαφαρὸν δίκταμον·
Εὔοδμός τε κρόκος, ἰδὲ κάρδαμον· ἐν δ' ἄρα κῆμος,
Σμίλαξ, ἠδὲ χαμαίμηλον, μήκων τε μέλαινα·
Ἄλκυα, καὶ πάνακες, καὶ κάπασον, ἠδ' ἀκόνιτον,
Ἄλλά τε δηλήεντα κατὰ χθόνα πολλὰ πέφυκε.
Μέσσον δ' ἠερόμηκες ἐπὶ στύπος ἄλσεϊ πολλῷ
Ἥπλωται φηγοῖο πέλεξ κλαδέωσιν ἐρυμνόν.
Ἐν δ' ἄρα οἱ χρύσειον ἐπεκρέματ' ἔνθα καὶ ἔνθα
Ὀρπηκος τανάοιο δέρας, τό κεν αἶψα δοκεύει

Ferreæ portæ ſunt ingentes, poſt illas
Murus ſuper eminet, circum vero hunc aurea propugnacula.
Poſteà in limine portarum ſublimis regina
Collocata erat diffundens ignis fulgorem, quam Colchi
Dianam Janitricem reſonantem in curſu, colunt,
Gravem hominibus adſpectu gravemque voce:
Quicunque ſine expiationibus accedunt & ſacris piacularibus,
Quæ tamen piacula ſacerdos ſola myſteriorum perita ſemper oc-
Infelix Medea ſibi & Cyteidibus puellis. (culta tenuit
Neque unquam quiſquam intra illam viam penetravit
Sive incola ſive peregrinus limen ſupergreſſus.
Arcet enim omninò Dea gravis domina,
Rabiem inſpirans iracundis canibus.
In imis verò partibus penetralium ſepimenti, Lucus tranſit,
Arboribus virentibus opacus, inquo multæ
Laurique & Corni & altæ Platani:
Tum deinde minores herbæ, ab arboribus tectæ
Aſphodelus, Clymenusque & pulchra Adiantus,
Et Thryon & Cyperus, & Ariſterewv evanida,
Horminumque & Eryſimon, Cyclaminusque divina,
Stœchas, Pœoniaque, depreſſosque ramos habens Polycnemon.
Mandragora, Polionque, prætereaque ſubtilis Dictamus:
Odoraque Crocus, & Cardamon: præterea Cemus,
Smilax & Chamæmelon, Meconque nigra:
Alcea & Panaces, & Capaſum & Aconitum,
Aliaque multa noxia in terra illa creſcunt.
In medio verò aureus truncus ſuper magnam luci partem
Panditur fagi circumcirca ramis munitus.
Inde aurea dependet ab utraque parte
E longo quodam ramo pellis, quam propè obſervat

Hor-

Δεινὸς ὄφις, θνητοῖς ὀλοὸν τέρας, οὐ φατὸν εἰπεῖν.
Χρυσείαις γὰρ φολίδεσσιν ἐθείρεται, ἐν δ' ἄρα πρέμνον
Ἀπλάτοις ὁλκοῖσι φορεύμενος ἀμφιπολεύει
Σῆμα χαμαιζήλοιο διὸς, ποτὶ κῶας ἀμείβων.
Φρουρεῖς ἀδμήτοις δ' ἐπιμαίεται ἄμμορος ὕπνου,
Γλαυκοῖς ἀμφ' ὄσσοισιν ἀναιδέα κανθὸν ἑλίσσων.
Αὐτὰρ ἐπεὶ κλυόμεν τόδ' ἐτήτυμον ὡς ἐτέτυκτο,
Ἀμφί γε μουνυχίης ἑκάτης φρουρῆς τε δράκοντος
Πάνθ' ὅσα οἱ κατέλεξεν ἀριφραδέως μήδεια,
Διζόμεθ' ἡμὲν ἄελπτον ὀϊζυροῖο πόνοιο,
Ὡς κένιν ἀγροτέρην μειλιξάμενοι πεπίθοιμεν,
Ἠδ' ὡς θῆρα πέλωρον ἱκοίμεθα, τόφρ' ἀνελόντες
Δέρμ' ἀπονοστήσωμεν ἑὴν ἐς πατρίδα γαῖαν.
Καὶ τότε δὴ μετὰ πᾶσιν ὁμόκλεεν ἡρώεσσι
Μόψος (ὁ γάρ τ' ἐδάης φῆσιν τάδε μαντοσύνῃσιν)
Ὄφρ' ἐμὲ γουνάσωνται, ἐπιστείβωσι δ' ἔργον,
Ἄρτεμιν ἱλάσθαι, θέλξαι δ' ὑπερώορα θῆρα.
Ὡς οἱ μὲν λίσσοντο παρασταδόν· αὐτὰρ ἔγωγε
Αἰσονίδην ἐκέλευσα δύω δὴ φῶτε κραταιὼ
Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν πολυδεύκεα,
Μόψον τ' ἀμπυκίδην ἰέναι πρὸς τέρματα μόχθου.
Αὐτὰρ ἐμοὶ μήδεια συνέσπετο μούνη ἀπ' ἄλλων.
Ἡνίκα δ' εἰς σηκοὺς ἱκόμην ζάθεόν τε θεράπνην,
Χώρῳ ἐπὶ πλακόεντι βόθρον τρίστοιχον ὄρυξα,
Φιτροὺς τ' ἀρκεύθοιο καὶ ἀζαλέης ἀπὸ κέδρου,
Ῥάμνου τ' ὀξυτέροιο, πολυκλαύτων τ' αἰγείρων,
Ὦκα φέρων, ἤνυσα πυρὴν ἔμπροσθε βόθροιο.
Πολλὰ δέ μοι φέρε πάμπαν ἐπισταμένη μήδεια,
Φωριαμοῦ ἀνελοῦσα θυώδεος ἐξ ἀδύτοιο.
Αὐτίκα δ' οὖλα πλάσμαθ' ὑπὸ πέπλους ἐπενδύμην,

Αυ

Horrendus serpens, mortalibus perniciosum portentum inenar-
Aureis enim squamis ornatur, inde truncum (rabile.
Immensis magnitudine spiris complexus circumvolvitur,
Monstrum illud infernale, pellem circumiens.
Indefessis verò custodiis illam observat, expers somni,
Glaucorum oculorum abominabiles angulos circumtorquens.
Nos verò postquam audivimus accurate, quemadmodum se res
Circa Munychiam Hecaten, & custodiam draconis, (haberet,
Quæ nobis omnia declaravit admodum evidenter Medea,
Quærimus an nulla spes esset reliqua labori nostro,
Ut immitem Deam placaturi flectere
Et ad feram ingentem venire queamus, unde auferentes
Pellem reverteremur nostram in patriam tellurem,
Et tunc quidem inter omnes hortatus est Heroas
Mopsus (hoc enim ex vaticinandi arte sciebat)
Ut me orarent, aggrederentque opus
Placare Dianam, & inescare immanem feram.
Hoc illi undique circumfusi me orabant. Ast ego
Æsonidem jussi duos viros fortes
Castora equitem, & egregium pugilem Pollucem
Mopsumque Ampyciden ablegare ad locum laboris nostri.
Me verò Medea secuta est sola,
Postea quam autem ad templa veni & divinum locum,
Campo in plano foveam tres ordines habentem effodi,
Truncosque juniperi & arida à cedro,
Rhamnique acuti, stridularumque populorum nigrarum,
Extemplò conferens, struxi pyram coram fossa.
Multa verò mihi attulit omnia sciens Medea,
E cista depromens odoro ex adyto.
Statim verò mixturas sub vestibus elaboravi,

Pyram-

Ἂν δὲ πυρὴν ἐπέβαλλον, ἰδ' ἔντομα θύματ' ἔρεζον,
Σκύμνους παμμέλανας σκυλάκων τρισσοὺς ἱερεύσας.
Αἵματι δ' αὖ χάλκανθον ἰδὲ στρούθιον ἔμιξα,
Κνῆκόν τε σχιστὴν, ἐπί τε ψύλλιον ἀειδὲς,
Ἀγχουσάν τ' ἐρυθρὴν, ἰδὲ χάλκιμον. αὐτὰρ ἔπειτα
Νηδύας ἐμπλήσας σκυλάκων, φιτροῖσιν ἔθηκα.
Ὕδατι μὶξ δ' ὠμὰς χολάδας χεόμην περὶ βόθρον,
Ὀρφνινά θ' ἑσσάμενος φάρη, καὶ ἀπεχθέα χαλκὸν
Κρούων ἐλλισάμην· αἱ δ' ὀτραλέως ἐπάκουσαν,
Ῥήξασαι κενεῶνας ἀμειδήτοιο βερέθρου,
Τισιφόνη τε καὶ Ἀληκτὼ καὶ δῖα Μέγαιρα,
Πεύκαις ἀζαλέαις φόνιον σέλας ἀΐσσουσαι.
Καίετο δ' αὐτίκα βόθρος, ἐσμαράγει δ' ὀλοὸν πῦρ.
Λιγνὺς δ' αἰθαλόεσσα χύθη περιμήκετα καπνόν.
Αὐτίκα δ' ἐξ ἀΐδαο διὰ φλογὸς ἠγέρθησαν
Δειναὶ, θαμβήτειραι, ἀπηνέες, ἀπροσόρατοι.
Ἡ μὲν γὰρ δέμας ἔσχε σιδήρεον, ἣν καλέουσι
Πανδώρην χθόνιοι. σὺν δ' αἰολόμορφος ἵκανε,
Τρισσοκέφαλος ἰδεῖν, ὀλοὸν τέρας, οὔτι δαητὸν,
Ταρταρόπαις Ἑκάτη· λαιοῦ δ' ἄρ' ἐπέσσυθεν ὤμου
Ἵππος χαιτήεις· κατὰ δεξιὰ δ' ἦεν ἀθρῆσαι
Λυσσῶπις σκυλάκη· μέσση δ' ἔφυ ἀγριόμορφος,
Χερσὶν δ' ἀμφοτέραις ἔχεν ἄορα κωπήεντα.
Ἐγκύκλιαι δὲ δίνευντο περὶ βόθρον ἔνθα καὶ ἔνθα
Πανδώρη Ἑκάτη τε· συνεσσεύοντο δὲ ποιναί.
Ἐκ δ' ἄφαρ Ἀρτέμιδος φρουρὸν δέμας ἧκε χαμᾶζε
Πεύκας ἐκ χειρῶν, ἐς δ' οὐρανὸν ἤειρεν ὄσσε.
Σαῖνον δὲ σκύλακες πρόπολοι· λύοντο δ' ὀχῆες
Κλείθρων ἀργυρέων, ἀνὰ δ' ἔπτατο καλὰ θύρετρα
Τείχεος εὐρυμένους· ὑπεφαίνετο δ' ἄλσος ἐρυμνόν.

Pyramque superinjeci & hostias mactavi,
Catulos nigros canum ternos sacrificans.
Sanguini verò calchantum & struthion immiscui,
Cnicumque discissam, & Psyllion deforme,
Anchusamque rubram & chalcimon. Postea verò
Ventres implens catulorum, lignis ita imposui.
Intestinaque cruda aquâ permixta, circa foveam effudi,
Nigraque indutus palla, & inimicum æs
Pulsans preces fudi. Quam celerrimè verò exaudiverunt me
Rumpentes claustra tetrici barathri
Thissiphoneque Alectaque & dia Megæra
Tædis aridis cruentum jubar quatientes.
Flammamque statim hausit fovea, strepitumque dedit consumens
Flammaque ardens effudit immensum fumum. (ignis.
Statimque ex inferno per flammam eruperunt
Horrendæ, Tremendæ, Sævæ, Invisæ.
Illa quidem corpus habuit ferreum, quam vocant
Pandoram inferi: cum illa, varias formas habens (dum;
Triceps conspiciendam se dedit; monstrum horrendum, infan-
Tartarea Hecate: è sinistro enim humero caput quatiebat
Equus jubosus, è dextro autem apparebat
Rabiosus canis. Medium verò caput ferinam faciem habebat.
Ambabus verò manibus tenuit ensem manubriatum.
In orbem verò undique circa foveam cursitabant
Pandora Hecateque simulque cum iis bacchabantur furiæ:
Dianæque custodis simulacrum demisit in terram
Faces ex manibus, & in cœlum elevavit oculos. (pagula
Caudis verò abblandiebantur canes ministri, solvebanturque re-
Claustrorum argenteorum, resiliebantque pulcræ portæ
Muri lati. Apparuitque Lucus munitus.

Post

Αὐτὰρ ἐγὼν ὑπὲρ οὐδὸν ἔβην. τῆμος δέ τε κούρη
Αἰήτεω μήδεια, καὶ αἴσονος ἀγλαὸς υἱὸς,
Τινδαρίδαι τ' ἤπειγον ὁμοῦ, σὺν δ' ἕσπετο μόψος.
Ἀλλ' ὅτε δὴ σχεδόθεν κατεφαίνετο φηγὸς ἐρεμνὴ,
Κρηπίς τε ξενίοιο διὸς καὶ βώμιος ἕδρη,
Ἔνθα δράκων ὀλκοῖσιν ὑπὸ πλατέεσσιν ἑλιχθεὶς,
Δινεύων ἀνάειρε κάρα βλοσυρόν τε γένειον,
Ἂν δ' ὀλοὸν σύριξε. ἐπὶ δ' ἔβραχεν ἄσπετος αἰθήρ.
Δένδρεα δ' ἐσμαράγησε κραδαινόμεν' ἔνθα καὶ ἔνθα
Κρημνόθεν ἐκ ῥίζης· ἰάχησε δὲ σύσκιον ἄλσος.
Αὐτὰρ ἐμ' ἠδ' ἑτάρους τρόμος ἔλλαβε. νόσφι δὲ μούνη
Μήδει' ἐνὶ στέρνοις ἀκαμπέα θυμὸν ἐνώμα·
Δρέψατο γὰρ παλάμησι λυγρῶν ἀποθρέμματα ῥιζῶν.
Καὶ τότ' ἐγὼ φόρμιγγος ἐφήρμοσα θέσκελον ὀμφὴν,
Κλάγξα δ' ἄρ' ἐξ ὑπάτης χέλυς καρυηχέα φωνὴν,
Σιγαλέως ἄφθεγκτον ἐμοῖς ὑπὸ χείλεσι πέμπων.
Κλῇξα γὰρ ὕπνον ἄνακτα θεῶν πάντων τ' ἀνθρώπων,
Ὄφρα μολὼν θέλξειε μένος βλοσυροῖο δράκοντος.
Ῥίμφα δέ μοι ὑπάκουσε, κυτκίδα δ' ἧκ' ἐπὶ γαῖαν.
Κοιμίσας δ' ὅγε φῦλα πανημερίων ἀνθρώπων,
Καὶ ζαμενεῖς ἀνέμων πνοιὰς, καὶ κύματα πόντου,
Πηγάς τ' ἀενάων ὑδάτων, ποταμῶν τε ῥέεθρα,
Θῆράς τ' οἰωνούς τε, τά τε ζώει τε καὶ ἕρπει,
Εὐνάζων ἄμειψεν ὑπὸ χρυσέαις πτερύγεσσιν.
Ἷξε δ' ὑπὸ στυφελὸν κόλχων εὐανθέα χῶρον.
Κῶμα δ' ἄφαρ κατέμαρψε πελωρίου ὄσσε δράκοντος,
Ἰσοπαλὲς θανάτῳ. δολιχὴν δ' ἀμφ' αὐχένι δειρὴν
Θῆκε καρηβαρέων φολίσιν· θάμβησε δ' ἰδοῦσα
Αἰνόπλημος μήδεια· καὶ αἴσονος ἀγλαὸν υἷα
Ἧκ' ἐπιθαρσύνουσα θοῶς πρέμνοιο λαβέσθαι,

Poſt ego primus limen ſupergreſſus ſum, tum verò filia
Æetæ Medea, & Æſonis inclutus filius,
Tindaridæque ſimul intrarunt, conſequebaturque Mopſus:
Sed poſtquam propius apparuit fagus amœna,
Locusque hoſpitalis Jovis & altarea ſedes,
Ubi draco flexibus latis volvitur,
Converſus elevavit caput, truculentasque maxillas
Exitioſum ſibilavit, refremuitque immenſus æther,
Arboresque reſonuere vibratæ hinc atque illinc
Radicitus. Reboavit verò umbroſum nemus.
Aſt me cum ſociis tremor cepit. Sola verò
Medea in pectore intrepidum animum retinuit.
Decerpſit enim manibus funeſtarum fruſta radicum.
Et tunc ego lyræ conjunxi divinam vocem.
Inſonui verò ſuprema chelyos chorda latè ſonantem vocem.
Submiſſeque lene quid ex labiis meis cecini.
Cantavi autem ſomnum regem Deorum omnium pariter & hominum,
Ut veniret & leniret iram immanis draconis,
Confeſtim verò obtemperavit ille, & Cytaidem in terram venit.
Atque in tranſitu conſopiens gentes diurnorum hominum,
Et iracundos ventorum flatus fluctusque ponti,
Fontesque perennium aquarum, fluviorumque fluenta,
Ferasque avesque & omnia animalia pariter & reptilia,
Cubare faciens, profectus eſt aureis alis
Venitque ſuper aſperam Colchorum bene florentem regionem.
Veternus verò extemplò occupavit magni oculos draconis
Agonius, longumque collum circa cervicem
Convolvit capite gravatus ſquamis. Obſtupuitque videns hoc
Infauſta Medea. Æſonisque incluto filio
Animum adjecit, ut celeriter ex arbore ſurriperet

Pellem

Κῶας χρυσεόμαλλον, ὁ δ' οὐκ ἀπίθησεν ἀθρήσας·
Αὐτὰρ ἀειράμενος δέρας ἄπλετον, ἶκ' ἐπὶ νῆα.
Ἥρωες μινύαι μέγ' ἐγήθεον, ἂν δ' ἄρα χεῖρας
Ἀθανάτοις ἤειραν οἳ οὐρανὸν εὐρὺν ἔχουσιν.
Ὣς οἱ μὲν περὶ κῶας ὀπώπεον· αἶψα δ' αἰήτης
Ἀμφιπόλων ἤκουσεν ἀποιχομένην μήδειαν.
Ὦκα δ' ἄρ' ἀψύρτῳ ἐπετέλλετο λαὸν ἀγείρειν,
Μαστεύειν δ' ἄρα παῖδα κασιγνήτην καὶ ὄπατρον.
Ἀλλὰ ἓ ὠκὺς ἔπειγε παρὰ προχοὰς ποταμοῖο
Εἰς λόχον ἡρώων· ἔκιχεν δ' ἄρα παρθένον αἰνήν.
Νὺξ γὰρ πότ' ἀστροχίτων μέσσην παραμείβε πορείαν.
Ἐκ δ' ἐτελεῖτο δόλος στυγερὸς καὶ κῆρες ἀΐδναι
Μηδείης, ὑπ' ἔρωτος ἑλκλυτοῦ ἀψύρτοιο,
Ὅν ῥα κατακτείναντες, ἐπὶ προχοὰς μεθέηκαν
Ὀρνυμένου ποταμοῖο. φέρεν δ' ὅτε πνεύμασι κραιπνῷ.
Θεινόμενος γὰρ δίναις εἰς κῦμ' ἁλὸς ἀτρυγέτοιο,
Κέλσεν ὑπὲρ νήσων ἀψυρτίδας ἃς καλέουσιν,
Ἀλλ' ἄρα οὔτι λάθεν δί' ἐπόψιον ἠδὲ θέμιστας.
Αὐτὰρ ἐπεὶ νηὸς μὲν ἔσω κίον, ἐκ δ' ἑκάτερθεν
Ὄχθης πείσματ' ἔκοψαν, ὑπ' εἰρεσίης γὰρ θοῇσι
Πλεῖον ἐπειγόμενοι ποταμοῦ τάμον, οὐ κατευθὺ
Πόντον ἐπ' ἰχθυόεντα διὰ στόμα φάσιδος εὐρὺ
Ἱέμεθ'. ἀμπλακίῃ δ' ἐφορεύμεθα, πολλὸν ὀπίσσω
Αἰὲν ἀναπλείοντες. ἐλείπετο δ' ἄστεα κόλχων
Ἀφραδέσι μινύαις, σκοτερὴ δέ τε ἄμφεχεν ὄρφνη.
Αὐτὰρ ἐπειγόμενοι θέομεν ῥόον ἀφραδίῃσι,
Μεσσάτιοι πεδίοιο. βροτοὶ γὰρ μιν ἀμφινέμονται
Γυμνοὶ βουνόμοι τε, καὶ ἄρκυες ἀγροιῶται
Κερκετικόν τ' ἀνδρῶν φῦλον, σινδοί τ' ἀγερώχων.
Οἱ μήσαντο μεσηγὺ χαρανδαίων τ' αὐλώνων,

Καυκά-

Pellem aurei velleris, hic verò non cunctavit,
Sed aufferens pellem ingentem, perrexit ad navem.
Quo conspecto heroes Minyæ valdè lætati sunt, manusque
Ad Deos elevarunt qui latum cœlum inhabitant
Hæc illi quidem de pelle viderunt. Ast Æetes subito
A servis audivit avectam esse Medeam.
Statimque Absyrto præcepit populum convocare,
Investigareque puellam sororem suam germanam.
Ille verò tempus nullum perdens acceleravit ad ripas fluvii
Ad classem heroum, deprehenditque ibi virginem miseram.
Nox interea stellis amicta, mediam perfecerat viam,
Cùm peracta est fraus horrenda & fatale facinus nigrum
Medeæ, contra amorem incluti Absyrti,
Hunc enim occidentes ad ripas projecerunt
Rapidi fluminis, avexit vero eum hoc valido vento:
Agitatus verò Absyrtus fluctibus in undas maris inexsiccabilis
Ejectus demum est in insulas, quas Absyrtidas vocant,
Sed non latuerunt hæc Jovem inspectorem & Nemesin.
Nam postquam in navem venerunt, & utrinque
E littore funes absciderunt, atque celeribus remigiis
Magis magisque incumbentes fluvium secarunt, nequaquã rectà
Pontum in pisculentum per ostium Phasidos lati
Delati sumus; sed deviatione circumlati sumus longè retro
Semper renavigantes. Relictæ verò erant urbes Colchorum
Non advertentibus Minyis, tenebrosa quippe circumdabat nox.
Sed laborantes decurrimus flumen errabundi,
Per mediam regionem. Homines verò circum habitant
Gymni Buonomæque & Arcyes agrestes,
Cerceticorumque hominum genus, Sindorumque ferocium:
Hic quidem curabant per medias Charandæorum habitationes

Cau-

Καυκάσιον παρὰ πρῶνα, διὰ στεινῆς ἐρυθείας.
Ἀλλ' ὅτ' ἀπ' ἀντολίης ἐφάνη τερψίμβροτος ἠὼς,
Ποιάνθῃ νήσῳ προσεκέλσαμεν· ἔνθα δὲ δισσοὶ
Χεύμασιν ἀπλώτοισι περιγλίζουσι ῥέεθρα
Φᾶσις τ' εὐρυμενὴς ἀκαλαρρείτης τε σαράγγαις.
Τόν ῥα πλημμύρουσα διὰ χθονὸς εἰς ἅλα πέμπει
Μαιῶτις καναχηδὸν, ἐλειονόμου διὰ ποίης.
Καὶ τόθ' ὑπ' εἰρεσίῃ πλέομεν διὰ νύκτα καὶ ἦμαρ·
Δισσαῖς δ' ἐν τριμόροισι βοὸς πόρον ἐξικόμεσθα
Λίμνης, ὅντε μεσηγὺ βοοκλόπος οὔποτε τιτὰν
Ταύρῳ ἐφεζόμενος βελαρῷ πόρον ἔσχισε λίμνης.
Καί ῥα πανημερίῃσι πονεύμενοι εἰρεσίῃσι
Μαιώτας πρῶτ' ἐσαφικάνομεν ἀβροχίτωνας.
Ἠδὲ γελωνὸν ἔθνος, βαθυχαίτων τ' ἄπλετα φῦλα,
Σαυρομάτας τε, γέτας, καὶ γυμναίους, κέκρυφάς τε.
Ἀρσωπάς τ' ἀριμάσθας, ἔθνη πολυπήμονα λαῶν,
Ὧν περιναιετάει ἐν γῇ μαιώτιδα λίμνην.
Αὐτὰρ ἐπεὶ κ' ἐν τοῖσι δύην ἀμέγαρτον ἔθηκαν
Ἀθάνατοι, πύματον δὲ βυθοῦ διαμείψαμεν ὕδωρ,
Ὄχθῃσι χθαμαλῇσιν ἀποβλύει αἰπὺν ὄλεθρον,
Ῥοίζῳ ἐλαυνομένη· καναχεῖ δὲ τοι ἄσπετος ὕλη,
Ἀρκτώοις περάτεσσιν ἐπέρχεται ὠκεανόν δε.
Τῷ ῥα τόθ' ἁρπαχθεῖσα διὰ στόματος κίεν ἀργώ.
Ἐννέα μὲν νύκτας τε καὶ ἤματα μοχθίζοντες,
Λείπομεν ἔνθα καὶ ἔνθα βροτῶν ἀπηνέα φῦλα,
Πακτῶν ἀρκτείων τε γένος, λελίων τ' ἀγερώχων,
Τοξοφόρους τε σκύθας, ἄρεος πιστοὺς θεράποντας·
Ταύρους τ' ἀνδροφόνους, οἱ ἀμειδέα θύσθλα φέρουσι,
Μουνυχίῃ, βροτέῳ δ' ἐπιδεύεται αἵματι κρητήρ.
Ἂν δ' ἄρ' ὑπερβορέους, νομάδας, καὶ κάσπιον ἔθνος.

Αὐ-

Caucasium juxta verticem transire, per angustam Erythiam.
Sed postquam ab ortu apparuit homines delectans aurora,
Ad herbidam quandam insulam appulimus. Illam gemini
Undis innavigabilibus includunt fluvii
Phasis latus & quiete fluens Sarangis,
Hunc quidem inundans per terram in mare mittit
Mæotis cum strepitu, palustres per herbas.
Et tunc remigiis navigavimus noctem & diem.
Geminasque per fauces in Bosporum enavigavimus
Paludis, quam cùm boves furto abegisset olim Titan
Tauro insidens ingenti, mediam trajecit viam paludis.
Defatigatique inde diuturno remigio
Ad Mæotas primùm appulimus molliter vestitos,
Et Gelonam gentem & Comatorum populosas nationes.
Sauromatasque Getasque & Gymnæos Cecryphasque
Trucesque Arimaspas, gentes damnosas populis,
Qui circumhabitant in terra Mæotidem paludem.
Sed & adhuc magnas difficultates objecerunt
Divi, postquam ultimam abyssi trajecimus aquam, (ram
Angustis enim ripis coarctatur aqua alluitque sceleratam ter-
Magno strepitu agitata, ita ut maxima adjacens sylva resonet,
Donec tandem in Arctoos fines & oceanum sese exonerat,
Inquem tunc etiam abrepta Argo per ostia intravit.
Novem verò noctes totidemque dies laborantes,
In transitu hinc atque illinc reliquimus immania hominum ge-
Pactorum Arctiorumque genus, Leliorumque crudelium, (nera
Hastatosque Scythas, martis fideles famulos.
Taurosque homicidas, qui tristia sacra faciunt
Munychiæ, humano siquidem sanguine crater replendus est.
Atque Hyperboreos, Nomadas & Caspiam gentem.

Αὐτὰρ ἐπεὶ δεκάτη ἐφάνη φαεσίμβροτος ἠώς,
Ῥιπαίους αὐλῶνας ἐκέλσαμεν, ἐκ δ' ἄφαρ ἔργω
Ἄλλην ἐπιπροθέουσα διὰ στεινοῖο ῥεέθρου·
Ἔμπεσε δ' ὠκεανῷ, κρόνιον δέ ἑκικλήσκουσι
Πόντον ὑπερβορέην μέροπες, νεκρήν τε θάλασσαν.
Οὐκέτι δὲ προφυγεῖν ἐδοκοῦμεν λυγρὸν ὄλεθρον.
Εἰ μὴ ἄρ' ὁρμαίνουσαν ὑπὸ κρατερῆφι βίηφι
Νῆα μολεῖν ἰθὺν ἐπὶ δεξιὸν αἰγιαλοῖο
Ἀγκαῖος, ξεστοῖσι πιθήσας πηδαλίοισιν.
Ἡ δ' ἔθορεν διοσαῖσι βιησαμένη παλάμησιν.
Ἀλλ' ὅτε δὴ μογερῇσιν ἐδαμνάμεθ' εἰρεσίῃσι,
Χεῖρες δ' οὐκέτ' ἔμιμνον, ἀκηχέμενοι δὲ φίλον κῆρ
Πήχεας ἀμπλέξαντες, ἐνηρείσαντο μέτωπα,
Ἱδρῷ ἀναψύχοντε· κέαρ δ' ἐπετείρετο λιμῷ.
Ἀγκαῖος δ' ἐξᾶλτο, καὶ ἄλλους πάντας ὄτρυνεν
Ἥρωας, μαλακοῖσι παραιφάμενος ἐπέεσσιν.
Οἱ δ' ἐπεὶ οὖν τέναγός τε πολυστρέπτοισι κάλωσι
Βάντες ὑπὲρ τοίχων ἅλα δε σφυρὰ κοῦφα βάλοντο,
Ὦκα δ' ἄρ' ἀρτήσαντο πολυστρέπτοισι κάλωσι,
Πρύμνης ἐξ ὑπάτης δολιχὴν μήρινθα βάλοντες
Ἄργος τ' Ἀγκαῖός τε, καὶ ἀρχὰς δῶκαν ἑλέσθαι
Ἡρώων. τοὶ δ' αἶψα δι' αἰγιαλοῖο θέοντες,
Σῦρον ἐπειγόμενοι· σὺν δ' ἕσπετο ποντοπόρος νηῦς,
Τέμνουσ' ὑγρὰ κέλευθα παρὰ ξυστοῖς κροκάλοισιν.
Οὐ γὰρ ἐ λιγὺς οὖρος ὑπὸ πνοιῇσιν ὄρινε
Βυκτάων ἀνέμων κλεινὴν ἅλα· κωφὰ δὲ πόντος
Κεῖθ', ὑπὲρ θ' ἑλίκης καὶ τηθύος ἔσχατον ὕδωρ.
Αὐτὰρ ἐπεὶ ἕκτη φαεσίμβροτος ἤλυθεν ἠώς,
Ἔθνος ἐς ἀφνειὸν καὶ πλούσιον ἐξικόμεσθα
Μακροβίων, οἳ δὴ πολέας ζώουσ' ἐνιαυτοὺς,

Sed postquam decima apparuit mortalibus lucem ferens aurora,
Ripæas ad valles appulimus, exinde repente Argo
Transiit subsiliens per angustum fluentum.
Inciditque in Oceanum, Saturnium verò vocant
Pontum Hyperboreum homines mareque mortuum.
Ibi verò vix effugere nos posse credebamus maximam infortu- (*nium*
Nisi impulsam maximis viribus
Navem transire coëgisset ad dextrum littus
Ancæus, politis eam gubernaculis regens:
Hæc verò prosiliit ambabus coacta manibus.
Sed postquam laboriosis defatigati sumus remigiis
Ita ut manus continere ea amplius non valuerint, contristati (*corde*
Cubito innixi sustinuerunt capita
Sudore madentia, & fames eos devexavit.
Ast Ancæus exsiliit, & alios omnes dictis acuit
Heroes, lenibus adloquutus verbis.
Tum hi, quoniam limus ibi erat, contortis funibus,
Parietes navis supergressi in mare se demiserunt,
Statimque alligarunt navem contortis funibus
Dum è summa puppe longum funem dejecerunt
Argus & Ancæus, ejusque extremitates dederunt
Heroibus, qui tum statim littore decurrentes,
Traxerunt annixi, subsecutaque est pontivaga navis,
Secans humidas vias juxta planum littus:
Non enim stridula aura flatibus concitavit
Sonantium ventorum inclutum mare; tacitus verò planè pontus
Jacet ibi, ubi Helices & Tethyos ultima aqua est.
Sed cùm sexta appropinquaret lucem hominibus ferens aurora,
Gentem ad divitem ac opulentam appulimus
Macrobiorum, qui quidem multos vivunt annos,

Δώδεκα χιλιάδας μηνῶν ἑκατονταετήρων
Πληθούσης μήνης, χαλεπῶν ἔκτοσθεν ἁπάντων·
Αὐτὰρ ἐπεὶ μήνης τὸ πεπρωμένον ἐξανύσωσιν,
Ὕπνῳ ὑπὸ γλυκερῷ θανάτου μάρπτουσι τελευτήν.
Οὐδ' ἄρα τοῖσι μέλει βίοτος καὶ ἔργ' ἀνθρώπων,
Ποίαις δ' ἐν μεσάτῃς μελιηδέα φερβὰ νέμονται,
Ἕρσῃ ὑπ' ἀμβροσίῃ θεῖον ποτὸν ἐξαρύοντες,
Πάντες ὁμῶς σίλβοντες ὁμηλικίην ἐρατεινήν.
Μειλιχίη δέ τοι αἰὲν ἐπ' ὀφρύσι νοῦσε γαλήνη
Παίδεσιν ἠδὲ τοκοῦσιν ἐπὶ φρεσὶν, ἠδὲ νόοιο,
Αἴσιμά τε ῥέζειν πεπνυμένα τ' ἐξαγορεύειν.
Καὶ τοὺς μὲν ῥ' ἀθρόους παραμειβόμεθ', αἰγιαλόνδε
Ποσσὶν ἐπιστείβοντες. ἔπειτα δὲ κιμμερίοισι
Νῆα θοὴν ἐπάγοντες ἱκάνομεν, οἵ ῥά τε μοῦνοι
Αἴγλης ἄμμοροί εἰσι πυριδρόμου ἠελίοιο.
Ἐν μὲν γὰρ ῥίπαιον ὄρος καὶ κάλπιος αὐχὴν
Ἀντολίας εἴργουσ' ἐπικέκλιται· ἡ δὲ πελώρη
Ἄσσον ἐπισκιάζουσα μεσημβρινὸν ἠέρα φλέγρη.
Δείελον αὖ κρύπτουσι φάος τανυηκέες ἄλπεις
Κείνοισι μερόπεσσιν, ἀχλὺς δ' ἐπικέκλιται αἰεί.
Ἐνθάδ' ἀφορμηθέντες ἐπειγομένοισι πόδεσσιν
Ἵξομεν ἀγκῶνα στυφελὸν καὶ νήνεμον ἀκτὴν,
Ἔνθα περ ἀμβλύζων ποταμὸς δίναισι βαθείαις
Θεῖ χρυσορόας ἀχέρων κρυεροῦ διὰ χώρου,
Ἀργυροειδὲς ὕδος προρέων, λίμνη τε κελαινὴ
Ἀνδέχεται. πιταγεῖ δὲ παρ' ὄχθαισιν ποταμοῖο
Δένδρεα τηλεθάοντα ποτὶ σχεδὸν, οἷσί τε καρπὸς
Βέβριθε νύκτας τε καὶ ἤματα συνεχὲς αἰεί.
Ἀμφὶ δέ οἱ χθαμαλή τε καὶ εὔβοτος ἑρμιονία
Τείχεσιν ἠρήρεισται ἐϋκτιμέναις ἐπ' ἀγυιαῖς.

Ἐν

Duodecim chiliadas mensium centum annorum
Plenæ lunæ, sine omni molestia:
Sed postquam fatalem mensem absolverunt,
Dulci somno adipiscuntur extremam mortem, (pantur;
Neque verò hi solliciti sunt de victu & iis quibus homines occu-
Sed herbis mellitis ex mediis quibus circumdantur pascuis, ve-
Rorisque ambrosii divinum potum haurientes, (scuntur,
Omnes omnino coævitate juvenili florentes.
Tranquillaque semper ex oculis eorum renidet serenitas
Filiis non magis ac parentibus, mentisque & animi,
Ad justa exsequenda, & prudentia eloquenda.
Per hos itaque magno numero pertransiimus, littus
Supergressi. Deinde ad Cimmerios
Navem celerem trahentes pervenimus, qui soli
Splendoris expertes sunt ignifremi Solis.
Ripæus enim mons & Calpius vertex
Ortum ab iis arcet, circumcluditque excurrens
E propinquo obumbrans meridianum aëra Phlegre.
Vespertinum verò abscondunt solem acuti Alpes
Istis hominibus: Caligo vero iis usque imminet.
Illinc digressi indefessis pedibus
Venimus ad asperum promontorium & vento carentem portum,
Ubi alluens fluvius turbinibus profundis
Percurrit aurum vehens Acheron gelidam regionem,
Argento similem aquam volvens, palus verò nigra
Eum recipit, susurrantque ibi haud procul a ripis fluvii
Arbores germinantes, quas fructus
Gravant noctesque diesque continuò semper.
Terrestris verò & Pascua Ceres
Mœnia ambit in benè ædificatis vicis.

Ἐν δὲ γένη ζώουσι δικαιοτάτων ἀνθρώπων,
Οἷσιν ἀποφθιμένοισιν ἄλις ναῦς ἴα τέτυκται.
Καὶ δ' αὖ αἱ ψυχαὶ μετεκίαθον εἰς ἀχέροντα
Πορθμίδος ἐκ γλαφυρῆς· σχεδόθεν δέ οἱ εἰσὶ πόληες,
Ἀρρηκτοί τ' ἀΐδαο πύλαι, καὶ δῆμος ὀνείρων.
Ἀλλ' ὅτε δὴ καὶ τήνδε πόλιν καὶ ἤθεα λαῶν
Σφῇ ἄτῃ βαρεῶν οἶτον ἀναπλώσαντες ἔβημεν,
Δή ῥα τότ' ἀγκαῖος νηὸς κίεν· αἶψα δὲ πάντας
Εἰσβαίνειν ἐκέλευσε κεκμηκότας ἄμμιγ' ἑταίρους,
Τοὺς ὅγε καὶ μύθοισι προσηύδα μειλιχίοισι,
Τλῆτε φίλοι τὸν μόχθον. ἐπεὶ νύ τοι οὔτι χέρειον
Ἔλπομαι ἀνστήσεσθαι. ἐπιφείσονται γὰρ ἤδη
Ἀκραῆ ζέφυρον καταδέρκομαι· οὐδ' ἀτέκμαρτον
Ὕδωρ ὠκεανοῦ κελαρύζεται ἐν ψαμάθοισιν.
Ἀλλὰ θοῶς ἱστὸν μὲν ἀναστήσασθε μεσόδμῃ,
Λύσατε δὲ προτόνων ὀθόνας. ἐκ δ' ὅπλα χέοντες,
Σφίγξαι ἐπισταμένως, τοίχων ἑκάτερθε βαλόντες.
Ὣς οἱ μὲν τὰ ἕκαστα πονείατο· ἐκ δ' ἄρα κοίλης
Νηὸς ἐπιβρομέουσα τομαρὰς ἔκλαγε φηγὸς,
Ἥν ποθ' ὑπ' ἀρζώαισι τομαῖς ἡρμόσατο παλλάς.
Ὧδε δ' ἔφη, (θάμβος δὲ περὶ φρένας ἵκετο πάντας)
Ὤιμοι ἐγὼν, ὄφελόν με διαρραισθεῖσαν ὀλέσθαι
Κυανέαις πέτραισιν ἐν ἀξείνῳ τε κλύδωνι·
Οὔκεν νῦν ἀνάπυστον ἀϊδρείῃ βασιλήων
Νώνυμνον φορέεσκον. ἐπεὶ νῦν αἰεὶ ἐριννὺς
Αἵματος ἐμφύλοιο δεδουπότος ἀψύρτοιο
Ὑστερόπους ἕπεται· στέργει δέ τοι ἄτη ἐπ' ἄτην.
Νῦν γὰρ δὴ λυγρῆς τε καὶ ἀργλυνῆς κακότητος
Ἵξομαι, εἰ νήεσσιν ἐριννύσιν ἄσσον ἵκωμαι.
Εἰ μὴ γάρ μ' ἱεροῖσιν ἐπιγνάμψαντες ἄκεσσι

Intus verò habitat justissimorum genus hominum,
Quibus mortuis, satis est una navis.
Animæ enim statim transeunt in Acherontem
Ex amœno freto, cui propè adjacent civitates
Et impenetrabiles inferni portæ, populusque somniorum.
Sed postquam & horum civitatem & genus populorum
Nostro infortunio gravem ærumnam passi pertransivimus,
Tunc Ancæus è navi progressus est, statimque omnes
Conscendere jussit defatigatos simul socios
Quos deinde verbis allocutus est blandis. (plius
Perferte, amici, hunc laborem. Quoniam graviorem non am-
Nobis se oblaturum spero. Inhorrescentem enim jam
In superficie flantem zephyrum persentisco. Neque frustra mihi
Aqua oceani perstrepit arenas.
Sed celeriter malum modio instituite,
Solviteque à rudentibus vela, funesque depromentes,
Aptate convenienter & ab utroque navis latere demittite.
Sic illiquidem omnia exequebantur. Ex profunda verò
Nave instrepens vatidica resonuit fagus
Quam Argois trabibus subtus aptavit Pallas;
Hæcque locuta est (tremor verò occupavit mentem unius cujus-
Me miseram! quanto melius dissipata periissem (que)
A Cyaneis saxis in Euxinis fluctibus;
Quam quod nunc diffamatum imprudentia regum
Probrum fero. Quoniam nunc semper vindicta
Sanguinis conterranei occisi Absyrti
A tergo prosequitur. Insultatque nobis una ærumna super aliam.
Ast ego vos funesti & recentis criminis
Accusabo, quam primum ad Erinnyas propius advecta fuero.
Nisi enim me flectentes sacris meis cacuminibus

Κόλπον ἔσω γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης
Ἔξεσθ᾽, ἀμπέλαγος ἀτλαντικὸν ἐκτὸς ἵκωμαι.
Ὣς εἰποῦσ᾽ αὐδὴν κατερήτυεν· ἐν δ᾽ ἄρα θυμὸς
Πυκνώθη μινύαισι διαμπερὲς, εἴτ᾽ ἄρ᾽ ἔμελλον
Σχήσειν λυγρὸν ὄλεθρον, ἰάσονος εἵνεκα φίλτρων.
Πολλὰ δ᾽ ἦ μερμήριζον ἐνὶ φρεσὶ πευκαλίμῃσιν,
Ἢ μὲν ἀποφθίσωσι καὶ ἰχθύσι κύρμα βάλωσιν
Αἰνολεχῆ μήδειαν, ἀποστρέψωσι δ᾽ ἐριννύν·
Εἰ μὴ ἄρ᾽ ὀξὺ νόησε περικλυτὸς αἴσονος υἱὸς,
Καί ποτε λισσόμενος θυμὸν κατερήτυ᾽ ἑκάστου.
Αὐτὰρ ἐπεί τ᾽ ἀργοῦς ἐτυμηγόρον ἔκλυον ὀμφὴν,
Ἧντο παρὰ σκαλμοῖσι θοῶς, λάζοντο δ᾽ ἐρετμά.
Ἀγκαῖος δ᾽ οἴακας ἐπισταμένως ἐτίταινε.
Πὰρ δ᾽ ἄρα νῆσον ἄμειβεν ἰερνίδα. καί οἱ ὄπισθεν
Ἷκτο καταίγδην δνοφερὴ τρομέουσα θύελλα,
Ἐν δ᾽ ὀθόνας κόλπωσε. θέεν δ᾽ ἄφαρ ὑγρὸν ἐπ᾽ οἶδμα
Νηῦς· οὐ δή τις ἐσαῦθις ἀναπλεύσεσθαι ὀλέθρου
Ἤλπετο· δωδεκάτη γὰρ ἐπήϊεν ἠριγένεια.
Οὐδέ τις ἔγνω ἧσιν ἐνὶ φρεσὶν ὁππόθ᾽ ἄρ᾽ ἐσμὲν,
Εἰ μὴ ἐσχατιαῖς ἀκαλαρρόου ὠκεανοῖο
Λυγκεὺς εἰσενόησεν. ὃ γὰρ τηλωπὸν ὄπωπε
Νῆσον πευκήεσσαν, ἰδ᾽ εὐρέα δώματ᾽ ἀνάσσης
Δήμητρος· περὶ δ᾽ αὖτε μέγα νέφος ἐστεφάνωτο.
Ὧν πέρι μῦθον ἅπαντ᾽ ἔκλυες μουσαῖε δαΐφρον,
Ὥς ποτε φερσεφόνην τέρεν᾽ ἄνθεα χερσὶ δρέπουσαν
Ἐξάπαφον συνόμαιμοι ἀν᾽ εὐρύ τε καὶ μέγα ἄλσος·
Αὐτὰρ ἔπειθ᾽ ὥς μιν πλουτεὺς, κυανότριχας ἵππους
Ζευξάμενος, κούρην ἐπεβήσατο δαίμονος αἴσῃ,
Ἁρπάξας δ᾽ ἔφερεν διὰ κύματος ἀτρυγέτοιο.
Δὴ τότ᾽ ἐγὼ ἀπόειπον ἐπιπλώοντα νέεσθαι

Νήσου

+ ie from the most westerly Island then known—

Intra ſinum terræ & infructuoſi maris
Adigetis, in pelagus Atlanticum excurram.
Sic loquuta, vocem cohibuit. Quibus auditis animi
Obſtupuere heroum penitus, quod omnibus ſibi
Imminere tam grave malum debeat, propter Iaſonis amorem,
Multaque ruminabant animis amarulentis,
An occidere debeant & piſcibus diripiendam projicere
Infelicem Medeam, ut hoc pacto declinarent Furiam.
Et feciſſent, niſi miſericordia tactus eſſet inclytus Æſonis filius,
Supplex enim ipſis factus, animum ſedavit uniuscujusque.
Sed poſtquam inſuper Argonos audiverunt vatidicam vocem;
Aſſidebant ſcalmis celeriter, prendebantque remos.
Ancæus verò clavos doctè gubernavit:
Prætervectusque eſt inſulam Hiberniam, ipſique à tergò
Subſecutus eſt impetuosè ruens obſcurus vehemens ventus,
Velaque implevit, cucurritque celeriter ſuper tumens mare
Navis, ſed ne tum quidem quisquam interitum elapſurum
Se ſperavit (duodecima enim jam tranſiverat aurora)
Neque quisquam noſtrum certò ſcivit ubinam ſimus,
Niſi quidem fines demum tranquille fluentis Oceani
Lynceus cognoviſſet. Hic enim à longinquo detexit
Inſulam quandam piceis refertam, atque ampla templa reginæ
Cereris, quæ ingenti nube circumvallabantur. (*dens,*
De quibus omnibus jam audiviſti carmen noſtrum Muſæe pru-
Quemadmodum olim Proſerpinam teneros floſculos decerpentē
Deceperint conſanguinei in lato quodam nemore;
Poſteà verò quemadmodum Pluto nigros equos
Jungens, puellam aggreſſus ſit, Diis volentibus,
Avexeritque vi per ſteriles fluctus.
Tunc ego abnui adnavigare

 Inſu-

Νήσου ἐπὶ ῥηγμῖνα καὶ αἰγλήεντα τέρεμνα,
Ἔνθ' οὔτις σὺν νηῒ περᾷ μερόπων ἀνθρώπων.
Οὐ γὰρ οἱ ἐστὶ λίμνη νηῶν ὀχὸς ἀμφιελισσῶν,
Ἀλλά γε ἠλίβατος πέτρη περὶ πάντα πέφυκεν
Ὑψηλή. τά τε καλὰ φύει μενοεικέα δῶρα.
Καί τότ' ἄρ' οὐκ ἀπίθησε νεὸς κυανοπρῴροιο
Ἰθύντωρ Ἀγκαῖος, ἀνέτρεχε δ' αἶψ' ἀνορούων,
Σκαιὸν ὑπεγκλίνας οἰήϊον· ἐν δ' ἄρ' ἔπειθε
Μήτι κατευθὺ περᾶν, ἐπιδέξια δ' ἦγε θέουσαν.
Ἤματι δὲ τριτάτῳ Κίρκης δόμον ἐξικόμεσθα,
Λυκαῖον ποτὶ χέρσον ἁλιστεφέας τε θεράπνας.
Καὶ τότ' ἄρ' αἰγιαλοῖσιν ἐκέλσαμεν ἀχνύμενοι κῆρ,
Πείσματα δ' ἐν πέτρῃσιν ἐδήσαμεν. ἐκ δ' ἄρ' Ἰήσων
Νηὸς ἀποπροέηκε μολεῖν ἐρίηρας ἑταίρους,
Διζόμενος τίς ἄρ' ἀνθρώπων ἀν' ἀπείρονα γαῖαν
Ναιετάει, γνῷεν δὲ πόλιν καὶ ἤθεα λαῶν.
Τοῖς δ' ἄφαρ ὡμάρτησε καταντίον ἐρχομένοισι
Κούρη ὁμογνήτη μεγαλόφρονος Αἰήταο,
Ἠελίου θυγάτηρ. (Κίρκην δέ ἑ κικλήσκουσι
Μήτηρ ἀστερόπη καὶ τηλεφανὴς ὑπερίων)
Ἢ ῥα θοῶς ἐπὶ νῆα κατήλυθεν· ἐκ δ' ἄρα πάντες
Θάμβεον εἰσορόωντες· ἀπὸ κρατὸς γὰρ ἔθειραι
Πυρσαῖς ἀκτίνεσσιν ἀλίγκιοι ἠώρηντο.
Στίλβε δὲ καλὰ πρόσωπα, φλογὸς δ' ἀπέλαμπεν ἀϋτμή.
Αὐτὰρ ἐπεὶ Μήδειαν ἐσέδρακεν ὀφθαλμοῖσι
Αἴγλῃ καλυπτομένην, ἑανῷ δ' ἀμφέσχε παρειὰς
Αἰδομένη· χλωρὸν γὰρ ὑπὸ στέρνοις ἀλάχητο.
Ἣν τότ' ἐποικτείρουσα προσηύδανε καὶ φάτο Κίρκη·
Ὦ δειλή, τίνα σοι κύπρεις ὤπασε μοῖραν·
Οὐ γάρ τοι λελάθεσθε ἅπερ ῥέξαντες ἵκεσθε.

Insulæ ad littus & splendentes domos,
Ubi nunquam quisquam cum navi appulit mortalium.
Non enim habet portum qui naves caperet versatiles,
Sed excelsa petra undique insulam cingit
Sublimis, in qua crescunt jucunda Cereris munera.
Neque verò sententiam meam improbavit navis nigræ
Rector Ancæus, sed statim impellens navem retro cedere fe-
Lævum inclinans clavum. Inde posteà (cit,
Ne rectà tenderet, ad dextram egit currentem.
Tertia verò die Circes ad domum pervenimus,
Lycæam ad terram, marique cinctas stationes:
Et sanè tunc ad littus appulimus anxii corde,
Funes verò petris alligavimus, Tuncque Jason
E navi emisit dilectos socios,
Investigans quisnam hominum magnam illam terram
Habitaret, ut recognoscerent Urbem & mores illorum popule-
Istis verò de repentè obviam facta est pergentibus (rum.
Soror magnanimi Æetæ,
Solis filia (Circen verò illam vocant
Mater Asterope & illustris Hyperion)
Rectaque ad navem gressum tetendit. Hic verò omnes
Obstupescebant videntes illam: à capite enim comæ
Igneis radiis similes ipsi dependebant.
Relucebantque pulcri vultus, flammæque resplendescebat ardor.
Illa verò postquam Medeam conspexit
Alba obvolutam palla, (veste enim contexerat faciem
Præ pudore, graviter enim angebatur cor)
Ejus miserta, alloquuta est, & dixit Circe:
Ah misera, quodnam tibi Cypris exhibuit fatum,
Non enim fugit nos quid feceritis paulo ante adventum vestrum

Νῆσον ἐφ' ἡμετέρην πανετώσιοι εἵνεκα πατρὸς
Γηρυΐου, κάσιός τε, τὸν ἐκπάγλως ὀλέσατε.
Οὐδὲ γὰρ ὔμμε πάτρῃσιν ὀΐομαι ἆσσον ἱκέσθαι
Εἰ ἐν ἀναγνίστοισιν ἀλιτροσύναις ἀκέοντες,
Μέσφ' ὅταν ἐκνίψησθε μύσους θείοισι καθαρμοῖς,
Ὀρφέως ἰδμοσύνῃσι, παρὰ κροκάλοισι Μαλείης.
Οὐ δὲ γὰρ ἡμετέροιο δόμου θέμις ἐστὶν ἱκέσθαι
Προστροπίους. τοίῳ γε λύθρῳ πεπαλαγμένοι ἐστέ.
Ἀλλά μιν αὐτίκ' ἐγὼ πρόφρων ξεινήϊα πέμψω
Σῖτον καὶ μέθυ λαρὸν ἔχειν, σὺν δὲ κρέα πολλά.
Ὣς εἰποῦσ', ἀψορρὸς ἀπέπτατο· νηὶ δὲ μέσσῃ
Δαιτός τ' ἠδὲ ποτοῖο τετυγμένα τεύχε' ἔκειτο.
Ἂν δ' ἄρ' ἐπειγομένοισι θέεν λιγὺς οὖρος ἀήτης.
Καὶ τότε λυσάμενοι κείνης ἀπὸ πείσματα νήσου,
Κῦμα διαπρήσσοντες ἀνὰ στόμα τερνησοῖο
Ἱκόμεθα, στήλαισι δ' ἐκέλσαμεν ἡρακλῆος.
Ἄκρις δ' ἀμφ' ἱεροῖσι διωνύσοιο ἄνακτος
Μίμνομεν ἑσπέριοι· δαιτὸς γὰρ ἐδεύετο θυμός.
Τῆμος δ' αὐτολίαισιν ἐγείρετο φωσφόρος αἴγλη,
Ὄρθριοι εἰρεσίης γλαυκὴν ἐχαράξαμεν ἅλμην,
Σαρδῶον δ' ἱκόμεσθα βυθὸν, κόλπους τε λατίνων,
Νήσους τ' αὐσονίας, τυρρηνὰς δ' ἱκόμεθ' ἀκτάς.
Αὐτὰρ ἐπεὶ λιλύβαιον ἐπέσχομεν ἠχέτα πορθμὸν,
Τριγλώχινά τε νῆσον ἐπέσχομεν, ἐγκελάδοιο
Αἰτναίη φλόξ σφιν ἄρ' ἐρητύε μεμαῶτας,
Δὴ τόθ' ὑπὲρ πτέρης ὀλοὸν περιέζεεν ὕδωρ
Νείοθεν, ἐκ μυχάτου δὲ βυθοῦ ῥοίβδησε χάρυβδις
Κύμασι καχλάζοντι, καὶ ἱστίον ἄκρον ἵκανε.
Νῆα δ' ἄρ' αὐτόθι κατέσχεν ῥόος, οὐδέ μιν εἴα
Προπροθέειν, οὐδ' αὐτίκα ἀναδύσεσθαι ὀπίσσω,

Κοίλῳ

Nostram in Insulam, scelerati propter patrem
Senem, & fratrem, quem horrendo modo occidistis.
Non enim vos reor ad patrias perventuros terras
Si in impuris istis sceleribus secure perseveraveritis,
Donec ablueritis probrum divinis expiationibus,
Orphei artibus, juxta littora Maleæ.
Sed & nefas est in nostram domum ingredi
Piaculares, tali enim vos scelere contaminati estis.
Nihilo tamen minus statim ego vobis Xenia mittam
Frumentum & vinum dulce & multas carnes.
Sic loquuta, retrovolavit, mox autem media in navi
Cibo potuque abundantia vasa jacuerunt.
Abitum inde præparantibus ortus est vehemens ventus;
Tuncque solventes ab illa insula funes,
Mareque trajicientes in ostium Tartesi
Venimus, & ad columnas appulimus Herculis.
Circaque promontorium Dionysii regis
Pernoctavimus: Cibo enim opus habebat appetitus.
Quùm verò ex oriente surrexisset lucida aurora,
Summo mane remigiis glaucum sulcavimus mare,
Sardoumque in pelagus pervenimus, sinusque Latinorum.
Insulasque Ausonias, Tyrrhenaque visitavimus littora
Postquam vero Lilybæum pervenimus ad sonans fretum;
Trinacriamque insulam appulimus, ibi Enceladi
Ætnea flamma paululum nos cohibuit avidiores.
Tunc repente super proram perniciosa circumferbuit aqua
Ex imo, ex intimis quippe abyssi penetralibus restriduit Cha-
Undis strepentibus, magnumque velum invasit. (rybdis
Navem verò eodem in loco detinuit gurges, non enim sivit
Neque antrorsum eam neque retrorsum prolabi,.

Κοίλῳ ἐπὶ λυγρῷ τε περιστροφάδην ἀλάλητο.
Ἦ τάχα καὶ δύστεσθ' ἀργὼ κατὰ βένθε' ἔμελλεν,
Εἰ μὴ πρεσβίστη θυγάτηρ ἁλίοιο γέροντος
Εὐρυβία πηλῆα πόσιν λελίητο ἰδέσθαι,
Μειλιχίη δ' ἐκδῦτο βυθοῦ, καὶ ῥύσατ' ὀλέθρου
Ἀργώαν ἄκατον, καὶ ὑπ' ἰλύος ἐξεσάωσε,
Δὴ τότε οἱ πλώοντες ἐπέσχομεν οὐ μάλα τηλοῦ
Προβλῆτα σκόπελον· πέτρη δ' ἐφύπερθεν ἀπορρὼξ
Λισσοῖς χηραμόνεσσιν ἐπιθρώσκουσα βιᾶται
Πόντον ἔσω, χαροπὸν δ' ἄρ' ὑποβρέμεται ἔνδοθι κῦμα
Ἔνθα δ' ἐφεζόμεναι λιγυρὴν ὄπα γηρύουσι
Κοῦραι, ἀνοστήτους τε βροτοὺς θέλγουσιν ἀκουάς.
Δὴ τότε δὴ μινύαισιν ἐφήνδανε πύστις ἀοιδῆς
Σειρήνων· οὐδέ σφι παραπλώεσθαι ἔμελλον
Φθογγὴν οὐλομένην, χειρῶν δέ οἱ ἧκαν ἐρετμά.
Ἀγκαῖος δ' ἴθυνεν ἐπὶ προβλῆτα κολωνὸν,
Εἰ μὴ ἐγὼ φόρμιγγα τιτηνάμενος παλάμησι,
Μητρὸς ἐμῆς ἐκέρασσ' εὐτερπέα κόσμον ἀοιδῆς.
Ἤειδον δὲ λιγὺ κλάζων διὰ θέσκελον ὕμνον,
Ὥς ποτέ οἱ δήρισαν ἀελλοπόδων ὑπὲρ ἵππων.
Αὐτὰρ κυανοχαῖτα χολωσάμενος διὶ πατρὶ
Τύψεν λυκτονίην γαίην χρυσῆνι τριαίνῃ
Καὶ ῥαίσδην διεσκέδασεν καθ' ἀπείρονα πόντον,
Νήσους εἰναλίας ἔμμεναι· τάς ῥ' ἐξονόμηναν
Σαρδώ τ' Εὔβοιάν τ', ἐπὶ δὲ κύπρον ἠνεμόεσσαν.
Δὴ τότε φορμίζοντος, ἀπὸ σκοπέλου νιφόεντος
Σειρῆνες θάμβησαν, ἑὴν δ' ἄμπαυσαν ἀοιδήν.
Καί ῥ' ἡ μὲν λωτοὺς, ἡ δ' αὖ χέλυν ἔκβαλε χειρῶν.
Δεινὰ δ' ἀνεστονάχησαν, ἐπεὶ πότμος ἧκε λυγρὸς
Μοιριδίου θανάτοιο· σφέας δ' ἀπὸ ῥωγάδος ἄκρης

Ἐς

Circaque fatalem vorticem continuò in gyrum acta est.
Et jam in eo erat ut submergeretur Argo in fundum,
Nisi maxima natu filia marini senis
Eurybia, Peleum maritum suum desiderasset videre,
Suaviterque ex imo maris emersisset, & ab interitu vindicasset
Argoam navem, & à submersione liberasset.
Tunc cursum prosequentes, haud longè inde deteximus
Eminentem scopulum. Petra vero à summo prærupta
Exesis cavernis prominet
Intra pontum, nigrique reboant intus fluctus.
Hic sedentes dulcem vocem modulantur
Puellæ, redituque carentem demulcent hominum auditum.
Tunc etiam Minyæ delectabantur auditu cantus
Sirenum. Neque præternavigare voluerunt
Vocem perniciosam (& jam e manibus remos ejecerant
Et Ancæus ad prominentem verticem navem direxerat)
Nisi ego lyram tentans manibus,
Matris meæ concinuissem delectabilem ornatum cantus.
Cecini verò, (fortiter chordas pulsans ad divinum cantum)
Ut olim contenderint de velocibus equis:
Ast Neptunus, iratus Jovi patri,
Percusserit Lyctoniam terram aureo tridente
Celeriterque dissipaverit eas per immensum pontum
Ut deinceps essent insulæ maritimæ, quas vocaverunt
Sardo, Eubœamque, Cyprumque ventosam.
Hæc me canente, in nivoso vertice
Sirenes admiratione attonitæ erant, suoquè cessaverunt à cantu.
Et hæc quidem tibias, illa verò chelyn è manibus ejecit,
Graviterque suspirarunt, quoniam hora ipsis aderat
Fatalis lethi: Se ipsas verò à vertice hiantis scopuli

In

Ἐς βυθὸν δύσκουσαν ἁλιρρόθιοιο θαλάσσης,
Πέτραις δ' ἠλλάξαντο δέμας μορφήν θ' ὑπέροπλον.
Αὐτὰρ ἐπεὶ καὶ τόνδε πότμον παρήμειψε θέουσα
Ἀργὼ, κῦμα δὲ πόντου καὶ κόλπον ἵκανε
Λαιψηροῖς πλήθουσα κατὰ πρυτόνων ἀνέμοισι,
Κέρκυραν ζαθέην ἐξίκετο, τὴν σφιν ἔναιον.
Ἴδριες εἰρεσίης καὶ ἁλιπλάγκτοιο πορείης
Φαίηκες· τοῖσιν δ' ἄρ' ἐφημοσύνῃσι θέμιστας
Ἀλκίνοος κρίνεσκε δικαιότατος βασιλήων.
Πείσματα δ' ἁψάμενοι προσύναμεν ἱερὰ θέσθαι
Ζηνὶ πανομφαίῳ καὶ ἐπακτίῳ Ἀπόλλωνι.
Ἐν δ' ἄρ' ὑπειρεσίῃσιν ἐπειγόμενοι φορέοντο
Νησὶν ἀπειρεσίαις βελαρὸς λόχος αἰήταο.
Κόλχων ἐρραύων τε, χαρανδαίων, σολύμων τε.
Διζόμενοι μινύας, τόφρ' ἂν μήδειαν ἄγοιντο
Ὄψιν ἐς αἰήταο πατρὸς, τίσειε δ' ἀμοιβὰς
Σφῆσιν ἀτασθαλίῃσιν ἀδελφειοῦ κταμένοιο.
Ἀλλ' ὅτε δὴ κοίλου λιμένος μυχῷ ἆσσον ἵκοντο,
Αἶψα δ' ἄρ' ἀλκινόοιο δόμον κήρυκες ἔβαινον,
Μηδείης λύτο γοῦνα, δέος δ' ὤχρησε παρειὰς
Μή οἱ ἑλὼν ἀέκουσαν ἑὸν πέμψειε δόμονδε
Φαιήκων βασιλεὺς, ἀνάπυστά τε ἔργα γένηται.
Ἀλλ' οὐ οἱ τάδε μοῖρα τελεσσίνοος κατένευσε,
Πρὶν δή τοι πελίαο δόμοις ἔπι λυγρὸν ὄλεθρον
Αὐτῷ τε κρείοντι φέροι κακόν οἶτον ἰήσων.
Ἀλλ' ὅτε δὴ βασιλῆος ἀπηνέος ἔκλυεν αὐδὴν
Ἀρήτη ῥοδόπηχυς, ἰδ' ἀλκίνοος θεοειδὴς,
Ἀλκίνοος μὲν ῥ' οὐκ ἐπετέλλετο κηρύκεσσι
Κούρην ἀμφήριστον ἄγειν ἀπὸ νηὸς ἐρυμνῆς,
Πατρίδ' ἔσω τίσασθαι δίκην ἀλιτημοσυνάων.

Ἀρή-

In abyssum præcipitarunt undis inquieti maris.
In saxa verò transmutarunt corpus formamque excellentem.
Sed postquam & hoc fatum evasit cita
Argo per fluctus ponti & sinus,
Celeribus impleta juxta funem quo malus firmatur ventis,
Cercyram ad divinam appulit, in qua habitarunt
Periti remigiorum & marivagi itineris
Phæaces. Istis verò jura legesque
Alcinous imperavit justissimus regum.
Funes igitur contrahentes, præparavimus sacra
Jovi Panomphæo, & littorali Apollini:
Hic magno impetu adnavigavit
Infinitis navigiis fortis classis Æetæ,
Colchorum, Erravûmque Charandæorum, Solymorumque,
Quæsitum Minyas, ut Medeam reducerent
In conspectum Æetæ patris, quæ pœnas lueret
Suorum scelerum fratris occisi.
Sed quùm profundi portus ad penetrale propiùs venere;
Statimque ad Alcinoi domum præcones perrexerunt,
Genua solvebantur Medeæ, timorque pallescere faciebat genas;
Ne ipsam capiens, invitam ad domum suam remitteret
Phæacum Rex, inauditæque inde res evenirent.
Sed non hæc ipsi concessit Parca rabiosa,
Priusquam Peliæ domui exitiosam perniciem
Ipsique Regi malam calamitatem caussasset Jason.
Sed quando regis crudelis audiverunt voluntatem
Arete roseas ulnas habens & Alcinous Deo similis;
Alcinous quidem statim mandavit præconibus
Ut puellam de qua controverteretur a navi munita abducant,
Patrique suo ad luendas pœnas pro delictis tradant.

Arete

Ἀρήτη δ' ᾤκτειρεν ἀγακλειτὴ βασίλεια,
Μείλιχα παρφαμένη δὲ τὸν ὃν πόσιν, ὧδ' ἀγόρευεν·
Οὐ μὲν δὴ φίλον ἐστὶν ἀπορρώσασθαι ὅμιλον,
Λέκτρα τε στερέσαι, λῦσαί τ' ἐκ πυρσὸν ἔρωτος.
Θυμαίνει μάλα γάρ σφι διωναίη ἀφροδίτη
Ἀνδράσιν ἠδὲ γυναιξὶν, ὅστις τάδε μήσεται ἔργα.
Ἀλλ' εἰ μὲν κούρη πέλεται καὶ ἄχραντος ἱκάνει,
Οἰχέσθω πατρός τε δόμον καὶ ἐς ἤθεα κόλχων·
Εἰ δέ κε νυμφιδίοις ὀάροις λέκτρῳ τε κλιθεῖσα
Παρθενίην ᾔσχυνεν, ἑὸς πόσις ἄμμιν ἀγέσθω.
Ὣς ἔφατ'. ἀλκινόῳ δὲ περὶ φρένας ἤλυθε μῦθος·
Καί ῥ' οὕτω τάδε πάντα τελευτήσεσθαι ἔμελλεν.
Ἀλλ' οὐ οἱ βουλὴ μινύας λάθεν. αἶψα γὰρ ἥρη
Δμωῇ δέμας εἰκυῖα, θοῶς φάτο καὶ κατένευσε,
Νηὸς ἔπι προθορεῦσα, τά οἱ μήτιον ἄνακτες.
Δὴ τότε μηδείῃ θαλάμων πορσύνετο λέκτρον
Πρύμνῃ ἐπ' ἀκροτάτῃ, περὶ δ' ἐστορέσαντο χαμεύνας,
Ἀμφ' αὐτῇ χρύσειον ἐφαπλώσαντες ἄωτον.
Αὐτὰρ ἐπεὶ δορπέεσιν ἐπαρτήσαντο βοείας,
Τεύχεά τε, κρύπτον τε γάμων αἰδήσιμον ἔργον,
Καὶ τότε παρθενίης νοσφίζετο κούριον ἄνθος
Αἰνόγαμος μήδεια δυσωνύμοις ὑμεναίοις.
Αὐτὰρ ἐπεὶ βασιλῆος ἀμύμονος ὄψιν ἵκοντο
Κόλχοι καὶ μινύαι, καὶ ἐμυθήσαντο ἕκαστοι,
Ἐκ δ' ἔλαχ' αἰσονίδης ἄλοχον μήδειαν ἄγεσθαι
Ἀλκινόου, τοὶ δ' ὦκα λύοντ' ἐκ πείσματα νηὸς,
Δὴ τότ' ὑπ' εἰρεσίῃσι θέεν πολυηγόρος ἀργὼ,
Ἀμπρακίου κόλποιο διαπρήσσουσα κέλευθα.
Ἔνθα τί τοι μουσῇ θεηγλυὲς ἐξαγορεύσω
Ὅσσ' ἔπαθεν μινύαισιν ὁμοῦ περὶ σύρτιν ἀήταις,

Arete verò miserta est incluta Regina,
Blandeque admonens suum maritum, hoc modo infit:
Non bonum est disrumpere conjugium,
Lectosque dissipare, dissolvereque flammam amoris.
Irascitur enim valde Dionæa Venus
Viris pariter & mulieribus, quicunque talia patraverit.
Sed siquidem virgo est, & intacta huc accessit,
Redito ad patris domum & penates Colchorum:
Quodsi verò maritali consuetudine concubituque
Virginitatem defloravit, suus maritus eam ducito.
Dixit. Alcinous verò attentius hæc pensitavit verba:
Et profecto ita illa omnia perfecturus erat.
Sed non latuit hoc consilium Minyas, Juno enim statim
Servili corpore assumpto, breviter ea retulit & confirmavit;
Navem conscensa, omnia quæ struxerint Reges.
Et tunc quidem Medea thalamorum præparavit lectum
Puppi insumma, substraverunt verò alii floreas,
Circa ipsam auream expandentes pellem.
Deinde etiam hastis appenderunt bovinas pelles
Armaque, occultaveruntque nuptiarum reverendum opus,
Et tunc virginitate privavit puellarem florem
Infelix Medea infaustis hymenæis.
Sed postquam in conspectum optimi Regis venere
Colchi & Minyæ, & sua dixerunt utrique,
Sententiam accepit Æsonides, ut Medeam conjugem haberet
Ab Alcinoo, qua illi audita confestim navem solvebant,
Atque ita garrula Argo sub remis pulcrè prolapsa est.
Ambracii sinus sulcans vias.
Hinc tibi, Musæe Dea genite enarrabo *(Syrtim,*
Quæcunque ipsi cum Minyis simul passi sunt à procellis circa

Et

Ἢ πῶς ἐξεσάωθεν ἀλιπλάγκτοιο πορείης.
Ὅσσα τ' ἄρ' ἐν κρήτῃ πάθον ἄλγεα τετληῶτες,
Χάλκειον τριγίγαντα δοκεύμενοι, ὄφρ' ἱκόμεσθα.
Ὅς ῥα οἱ οὐκ εἴα λιμένων ἔντοσθεν ἱκέσθαι.
Ἠδ' ὡς στεινόμενοι βαρυηχεῖ κύματι πόντου,
Ῥίμφα τε κυανέῃσι βαρυνόμενοι νεφέλῃσιν,
Ἠλπόμεθα σκοπέλοισι μαλακνείοισιν ἱκέσθαι
Νῆα θοήν. παιὰν δ' ἄρ' ἑκηβόλος ἀγχόθεν αἰὲν
Δήλου ἀπὸ κραναῆς ἧκεν βέλος, ἐκ δ' ἀνέφηνε
Μεσσατίων σποράδων· κραναὴν δέ ἑ πάντες ὀπίσω
Νῆσον ἐπικλήσκουσι περικτίονες ἄνθρωποι.
Ἀλλ' οὐ οἱ θέμις ἔσκε διαμπερὲς ἐξ ἁλὸς ἔρξαι
Αἰσονίδην. περὶ γάρ ῥα λύτρον φέρεν· ἆλτο δ' ὀπίσω
Μοῖρ' ὀλοή. κότεεν γὰρ ἐπιφραδέως ὑπερίων.
Ἀλλ' ὅθ' ὑπ' εἰρεσίης μαλεώτιδας ἱκόμεθ' ἄκρας,
Κίρκης ἐννεσίῃσιν ἀποῤῥίψεσθαι ἔμελλον
Ἀρὰς αἰήτεω καὶ ἠλιτόποινον ἐριννύν,
Δὴ τότ' ἐγὼ μινύαισιν ἐφ' ἱερὰ λύτρα καθαρμῶν
Ῥέξα, καὶ ἐλλισάμην γαιήοχον εἰνοσίγαιον
Νόστον ἐπειγομένοις δόμεναι γλυκερούς τε τοκῆας.
Καί ῥ' οἱ μὲν πλώοντες εὐκλήμην ἐπ' ἰωλκὸν
Θῦνον. ἐγὼ δ' ἱκόμην ἐπὶ ταίναρον ἠνεμόεντα,
Ὄφρα κεν ἔντομα ῥέξω ἀγακλειτοῖς βασιλεῦσιν,
Οἵ τ' ἄρα νερτερίων βερέθρων κλῆϊδας ἔχουσιν.
Ἔνθεν δ' ὁρμηθεὶς ἐσύθην χιονώδεα θρήκην,
Λειβήθρων ἐς χῶρον, ἐμὴν ἐς πατρίδα γαῖαν.
Ἄντρον δ' εἰσεπέρησα περικλυτόν, ἔνθα με μήτηρ
Γείνατο ἐν λέκτροις μεγαλήτορος οἰάγροιο.

ΤΕΛΟΣ.

ΟΡΦΕΩΣ

+ forte leg. κρανάην

Et quomodo tandem liberati fuerint à pontivaga profectione:
Et quæcunque ipsis in Creta obtigere adversa perferentibus,
Cùm æneum Gigantem conspexerunt, cùm eò delati essemus.
Neque verò is permisit portum subire cuiquam,
Et quemadmodum angustati graviter fremente unda ponti
Et ex improviso obruti nigris tempestatibus
Timuerimus ne ad nigros scopulos offenderetur
Navis rapida. Pæan tamen longè jaculans propè è (se dedit
Delo ab aspero quodam loco jaculum emisit, conspiciendumque
Mediis in Sporadibus. Unde posteà Cranaë ab omnibus
Insula illa appellata est circumhabitantibus hominibus.)
Sed non permissum ipsi erat prorsus ex mari tollere
Æsonidem, quia redemtionis precium secum ferebat. Resiluit
Fatalis Parca, excanduitque non sine caußa Hyperion. (verò
Sed postquam remigatione Maleæ appulimus ad littora,
Circes suasu, liberare se voluerunt
A diris Æetæ & peccatorum punitrice furia,
Tunc ego Minyarum nomine sacra piacularia
Feci, & supplicavi terræ concussori Neptuno
Ut reditum velit laborantibus reddere dulcesque parentes.
Post illi navigio benè ædificatam in Jolcon
Cursum direxere, ego verò reversus sum in Tænarum ventosam,
Ut sacra facerem inclutis regibus,
Qui subterraneorum barathrorum claustra tenent.
Inde profectus celeriter cursum direxi in nivosam Thraciam,
Libethrorum in regionem, patriam meam in terram,
Antrumque ingreßus sum inclutum, in quo me mater
Genuit in lectis magnanimi Oeagri.

FINIS.

OR-

ΟΡΦΕΩΣ

Εὐχή,

πρὸς Μουσαῖον.

Μάνθανε δὴ Μουσαῖε θυηπολίην περὶ σεμνήν,
Εὐχήν, ἣ δή τοι προφερεστέρη ἐστὶν ἁπασῶν.
Ζεῦ βασιλεῦ, καὶ γαῖα, καὶ οὐράνιαι φλόγες ἁγναί,
Ἠελίου μήνης θ' ἱερὸν σέλας, ἄστρα τε πάντα·
Καὶ σὺ Ποσείδαον γαιήοχε κυανοχαῖτα,
Φερσεφόνη θ' ἁγνή, Δημήτηρ τ' ἀγλαόκαρπε,
Ἄρτεμι ἰοχέαιρα κόρη, καὶ ἤιε Φοῖβε,
Ὃς Δελφῶν ναίεις ἱερὸν πέδον· ὅς τε μεγίστας
Τιμὰς ἐν μακάρεσσιν ἔχεις Διόνυσε χορευτά·
Ἄρές τ' ὀβριμόθυμε, καὶ Ἡφαίστου μένος ἁγνόν,
Ἀφρογενής τε θεὰ μεγαλώνυμα δῶρα λαχοῦσα·
Καὶ σὺ καταχθονίων βασιλεῦ μέγ' ὑπείροχε δαῖμον·
Ἥβη τ', Εἰλείθυια, καὶ Ἡρακλέος μένος ἠΰ.
Καὶ τὸ Δικαιοσύνης τε καὶ Εὐσεβίης μέγ' ὄνειαρ
Κικλήσκω, Νύμφας τε κλυτὰς καὶ Πᾶνα μέγιστον,
Ἥρην τ' αἰγιόχοιο Διὸς θαλερὴν παράκοιτιν·
Μνημοσύνην τ' ἐρατήν, Μούσας τ' ἐπικέκλομαι ἁγνὰς
Ἐννέα, καὶ Χάριτάς τε καὶ Ὥρας, ἠδ' ἐνιαυτόν,
Λητώ τ' εὐπλόκαμον θείην, σεμνήν τε Διώνην,
Κουρῆτάς τ' ἐνόπλους, Κορύβαντάς τ' ἠδὲ Καβείρους,
Καὶ μεγάλους σωτῆρας ὁμοῦ, Διὸς ἄφθιτα τέκνα·
Ἰδαίους τε θεούς, ἠδ' ἄγγελον οὐρανιώνων
Ἑρμείαν κήρυκα, Θέμιν τ' ἱεροσκόπον ἀνδρῶν,
Νύκτα τε πρεσβίστην καλέω, καὶ φωσφόρον ἦμαρ,
Πίστιν τ' ἠδὲ Δίκην, καὶ ἀμύμονα θεσμοδότειραν.

Ῥείαν

O R P H E I

Preces,

ad Musæum.

PRÆI *verba sacris operæpretium patrandis,*
Quæ Musæe proculdubio numero omnibu' præstant,
Maje Jovis, Tellus, lumen genitabile Solis,
Lunaï jubar almum, atque omnia sidera mundi,
Et tu Neptune *Ambarualis cærulicrinis,*
Libera, Lustralis Empandaque, *frugiferens* Ops,
Deiana *arcitenens, & Februe Dis jaculator,*
Qui Delphorum habitas pomeria: tu quoque honores
Immanes indepte à Diis, *Salisubsule Liber,*
Mavors Nerienes, *Volcani purima virtus:*
Et Dea Spumigena rerum infinita potestas.
Et tu etiam omnipotens, Rex maxime Summanorum:
Diva Juventa, Parunda, neronis numina Sangi,
Justitiam augustam, atque augustam Pietatem,
Obtestor, *pusasque viras & numina Fauni,*
Junonemque sacram Jovis omnipotenti' maritam,
Mammuriamque almam oro, Novensilesque Camenas,
Temperiasque, Venustatesque, Annique labores.
Latonam cincinnatam oro, & Murtiam *amœnam,*
Armigeros Salios, Lucumones, *Grunduliosque,*
Atque potes Divos, Jovis immortale propagmen.
Idaiosque Camillos, & sirempse Deorum
Mercurium accensum, & Juritis cortumionem,
Et noctem Majam obtestor, lucemque diei:
Tum Fidiam, tum Fas & Fastam jura datantem.

Satur-

Ῥείαν τ' ἠδὲ Κρόνον, καὶ Θηθὺν κυανόπεπλον,
Ὠκεανόν τε μέγαν, σύν τ' Ὠκεανοῖο θύγατρας·
Ἄτλαντός τε καὶ αἰῶνος μέγ' ὑπείροχον ἰσχύν·
Καὶ χρόνον ἀέναον, καὶ τὸ Στυγὸς ἀγλαὸν ὕδωρ,
Μειλιχίους τε θεούς. ἀγαθήν δ' ἐπὶ τοῖσι πρόνοιαν.
Δαίμονά τ' ἠγάθεον καὶ δαίμονα πήμονα θνητῶν.
Δαίμονας οὐρανίους τε καὶ ἠερίους καὶ ἐνύδρους,
Καὶ χθονίους καὶ ὑποχθονίους, ἰδὲ πυριφοίτους.
Καὶ Σεμέλην, Βάκχου τε ξυμβαστῆρας ἅπαντας,
Ἰνὼ, Λευκοθέην τε, Παλαίμονά τ' ὀλβιοδώτην.
Νίκην θ' ἡδυέπειαν, ἰδ' Ἀδρήστειαν ἄνασσαν·
Καὶ βασιλῆα μέγαν Ἀσκληπιὸν ἠπιοδώτην.
Παλλάδα τ' ἐγρεμάχην κούρην, ἀνέμους τε πρόπαντας,
Καὶ βροντὰς, κόσμου τε μέρη τετρακίονος αὐλῶν·
Μητέρα τ' ἀθανάτων Ἄττιν, καὶ Μῆνα κικλήσκω,
Οὐρανίαν τε θεὰν, σὺν δ' ἄμβροτον ἁγνὸν Ἄδωνιν.
Ἀρχήν τ' ἠδὲ πέρας· (τὸ γὰρ ἔπλετο πᾶσι μέγιστον·)
Εὐμενέας ἐλθεῖν, κεχαρημένον ἦτορ ἔχοντας,
Τήνδε θυηπολίην ἱερὴν σπονδήν τ' ἐπὶ σεμνήν.
Εἰνοδίαν Ἑκάτην κλήζω, τριοδῖτιν ἐραννὴν,
Οὐρανίαν χθονίαν τε καὶ εἰναλίαν κροκόπεπλον,
Τυμβιδίαν, ψυχαῖς νεκύων μέτα βακχεύουσαν.
Περσίαν σκυλακῖτιν, ἀμαιμάκετον βασίλειαν,
Ταυροπόλον, παντὸς κόσμου κλειδοῦχον ἄνασσαν,
Ἡγεμόνην, νύμφην, κουροτρόφον, οὐρεσιφοῖτιν,
Λισσομένοις κούρην τελεταῖς ὁσίαισι παρεῖναι,
Βουκόλῳ εὐμενέουσαν ἀεὶ κεχαρηότι θυμῷ.

Ὀρ-

+ vide Gronov. Beger. Spicileg. Antiq. p. 90.

Saturnumque & Opem, pallaque Veniliam amictam,
Oceanumque voco magnum, Oceanique puellas,
Et vires Telamonis, & Ævi sæcula fessa,
Tempusque æternum, atque paludis sagmina Avernæ.
Mulciberosque Deos, lumenque illustre Monetæ,
Et Manum Genium, atque Inuum mortalium homonum,
Cœlestesque Joves atque Aërios, & Aquantes,
Terrestres etiam, & Summanos Igniviosque.
Et Semelam, & Brumi fanantes rite cohortes.
Matutam Albumeam, Portumnumque omnipotentem,
Et Græcam Nemesim, & numen Victoriæ Aiæ.
Nec non patrinum cœlestem Æsclapium amicum.
Et perterricrepæ arma Minervæ, & flamina bruta,
Fulminaque atque arguta quadri modulamina Mundi,
Mæsium, Casnarem, Divûm Latiamque parentem,
Cælestemque Lubentiam, & indigetem Deum Adonem.
Principium & finem, namque ille est omnibu' totum.
Hos mites precor aduentassere numine læto
Ad mea Februa, & inferii libamina sacri.
Obtestor Triviam Deianam Cæligenamque
Terrigenam: sirempse voco, æquoreamque Paludem,
Et vitulantem inter nigros Lemures Libitinam,
Quæ loca vasta colit, cervorum sanguen adulans,
Omnipotens regina, Canaria, Noctua virgo,
Carnea, perpetui mundi Bupetia sancta,
Dux, vira, Rumia, Diva vagans per scrupea saxa,
Mitis uti nostris intersit candida votis,
Numina præsenti gratans bona fausta bubulco.

ὈΡΦΕ´ΩΣ

Ὕ Μ Ν Ο Ι.

Προθυραίας θυμίαμα, στύρακα.

ΚΛΥ͂ΘΙ μοι ὦ πολύσεμνε θεὰ, πολυώνυμε δαῖμον,
Ὠδίνων ἐπαρωγὲ, λεχῶν ἡδεῖα προσόψι·
Θηλειῶν σώτειρα, μόνη φιλόπαις ἀγανόφρον,
Ὠκυλόχεια, παροῦσα νέαις θνητῶν Προθυραία.
Κλειδοῦχ', εὐάντητε, φιλότροφε, πᾶσι προσηνής
Ἣ κατέχεις οἴκους πάντων, θαλίαις τε γέγηθας.
Λυσίζων' ἀφανὴς, ἔργοισι δὲ φαίνη ἅπασι.
Συμπάσχεις ὠδῖσι, καὶ εὐτοκίῃσι γέγηθας·
Εἰλείθυια, λύουσα πόνους δειναῖς ἐν ἀνάγκαις.
Μούνην γάρ σε καλοῦσι λεχοὶ, ψυχῆς ἀνάπαυμα.
Ἐν γάρ σοι τοκετοῦ λυσιπήμονές εἰσιν ἀνίαι.
Ἄρτεμις Εἰλείθυια, καὶ ἡ σεμνὴ Προθυραία.
Κλῦθι μάκαιρα· δίδου δὲ γονὰς, ἐπαρωγὸς ἐοῦσα.
Καὶ σῶζ' ὥσπερ ἔφυς αἰεὶ σώτειρα προπάντων.

ΝΥΚΤΟ`Σ θυμίαμα, δαλούς.

ΝΥ´ΚΤΑ θεῶν γενέτειραν ἀείσομαι ἠδὲ καὶ ἀνδρῶν.
Νὺξ γένεσις πάντων, ἣν καὶ Κύπριν καλέσωμεν.
Κλῦθι μάκαιρα θεὰ, κυαναυγὴς, ἀστεροφεγγής·
Ἡσυχίῃ χαίρουσα καὶ ἠρεμίῃ πολυύπνῳ·
Εὐφρωσύνη, τερπνὴ, φιλοπάννυχε, μῆτερ ὀνείρων.
Ἀνθομέριμν' ἀγαθή τε, πόνων ἀνάπαυσιν ἔχουσα.

ORPHEI
INDIGITAMENTA
DEORUM

Carniæ Limentinæ Forculæ, ſturacem.

ADSIS ó veneranda Deûm, Majeſta Camilla,
Fœtarum tutilina, & Lucina dolentum:
Soſpita fœminei ſexi, ſtudioſa propagis,
Nummeria, atque novis nuptis Dea Forcula præſes.
Carnea, perfacilis, Picumna, eadem omnibu' mitis.
Quæ cunctorum habitas ædes, epulasque frequentas.
Cinxia & inviſa, aſt factis eadem omnibu' parens.
Partum ægrum miſerans, numero parientibu' gaudens:
Dia parunda, luens uterorum ęgerrima clauſtra.
Te fœtæ vocitant, ſolamen dulce laborum:
Nam tu fœtiparentum uterorum clauſtra reſignas.
O Partuna Diana, Palatua, Limentina.
Suffice prolem almam, titula adſtans parturientum.
Et ſerva, omnium uti cluis ſemper ſoſpita Juno.

NOCTIS *ſuffimen, torres.*

TE te Diva voco omniparens Divumque hominumque.
Principium eſt Nox omnium, & eſt Nox Murtia nobis.
Audi Diva parens, caligans, ſideriluca.
Quæ loca pigra colis, ſomnoque habitanda ſilenti.
Jucunda, & pernox, epulonaque, ſomnia gignens
Curiſuga, atque optanda quies placidiſſima rerum.

Ὑμνοδότειρα, φιληπάντων, ἐλάσιππε, νυχαυγής.
Ἡμιτελὴς, χθονία, ἠδ' οὐρανία πάλιν αὐτή·
Ἐγκυκλία, πήκτειρα διώγμασιν ἠεροφοίτοις·
Ἣ φάος ἐκπέμπεις ὑπὸ νέρτερα, καὶ πάλι φεύγεις
Εἰς ἀΐδην. δεινὴ γὰρ ἀνάγκη παντα κρατύνει.
Νῦν τε μάκαιρα Νὺξ πολυόλβιε, πᾶσι ποθεινή,
Εὐάντη τε, κλύουσα λόγων ἱκετηρίδα φωνὴν,
Ἔλθοις εὐμενέουσα, φόβους δ' ἀπόπεμπε νικαυγεῖς.

ΟΥΡΑΝΟΥ θυμίαμα, λίβανον.

ΟΥΡΑΝΕ παγγενέτωρ, κόσμου μέρος αἰὲν ἀτειρὲς,
Πρεσβυγένεθλ', ἀρχὴ πάντων πάντων τε τελευτή·
Κόσμε πατὴρ, σφαιρηδὸν ἑλισσόμενος περὶ γαῖαν,
Οἶκε θεῶν μακάρων, ῥόμβου δίναισιν ὁδεύων,
Οὐράνιος χθόνιός τε φύλαξ πάντων περιβληθείς·
Ἐν στέρνοισιν ἔχων φύσεως ἄτλητον ἀνάγκην,
Κυανόχρως, ἀδάμαστε, παναίολε, αἰολόμορφε,
Πανδερκὲς, κρονότεκνε, μάκαρ πανυπέρτατε δαῖμον,
Κλῦθ' ἐπάγων ζωὴν ὁσίαν μύστῃ νεοφάντῃ.

ΑΙΘΕΡΟΣ θυμίαμα, κρόκον.

Ω Διὸς ὑψιμέλαθρον ἔχων κράτος αἰὲν ἀτειρὲς,
Ἄστρων ἠελίου τε σεληναίης τε μέρισμα,
Πανδαμάτωρ, πυρίπνου, πᾶσιν ζωοῖσιν ἔναυσμα,
Ὑψιφανὴς Αἰθὴρ, κόσμου στοιχεῖον ἄριστον·
Ἀγλαὸν ὦ βλάστημα, σελασφόρον, ἀστεροφεγγὲς,
Κικλήσκων λίτομαί σε, κεκραμένον εὔδιον εἶναι.

Somnidua, omnium amica, & equiria, noctícrepuſca,
Imperfecta, eadem terreſtris, cœlica rurſus:
Vortens, omnimodis Dea Moſtellaria ludens
Quæ lucem legas ſub Tartara, rurſus ad Orcum
Manas: nam cogunt rerum invictiſſima jura.
Adſis ó veneranda, optabilis, omnibu' grata,
Mitis, ſuppliciorum illabere vocibu' ſanctis.
Adſis Diva, fugans Inui ſimulacra crepuſci.

COELI *ſuffimen, tus*

COELE *Pater rerum, mundi pars irrequiete,*
Caſce parens, omnium qui principium, exitium omniū es.
Munde pater voluens terram anfractibus magnis,
Cœligenum domus, præcipitans vortiginis orbe.
Cœlice, terreſtris, cuſtos cortinaque rerum,
Amplectens naturaï pollentia jura;
Cærulee, indomite, & Volturne parens, Vortumne,
Omnituens, Saturniſatorque, ſuperrime Dive,
Huc ades, atque novo vitam moderere Camillo.

IGNIS *ſuffimen, crocum.*

QUI *Jovis in tectis dominaris pervigil ignis,*
Stellarum, Solis, Lunaïque omnipotens pars,
Omnidomans, ſpirans, animantum vividus ardor,
Cærula celſa regens, elementum nobile mundi:
Flos ignite, jubar genitabile, ſiderilune,
Cum precibus calo te innocuumque & temperium eſſe.

ΠΡΩΤΟΓΟ'ΝΟΥ θυμίαμα, σμύρναν·

ΠΡΩΤΟΓΟ'ΝΟΝ καλέω διφυῆ, μέγαν, αἰθερόπλαγκ-
Ὠογενῆ, χρυσέαισιν ἀγαλλόμενον πτερύγεσσιν, (τον,
Ταυροβόαν, γένεσιν μακάρων θνητῶν τ' ἀνθρώπων·
Ὅς τε πολύμνηστον πολυόργιον εὕρηκε Παιὰν,
Ἄρρητον, κρύφιον ῥοιζήτορα, παμφαὲς ἔρνος.
Ὄσσων ὃς σκοτόεσσαν ἀπημαύρωσας ὁμίχλην,
Πάντη δινήεις πτερύγων ῥιπαῖς κατακόσμον.
Λαμπρὸν ἄγων φαὸς ἁγνὸν, ἀφ' οὗ σε Φάνητα κικλήσκω,
Ἠ δὲ Πρίηπον ἄνακτα, καὶ ἀνταυγῆ ἑλίκωπον.
Ἀλλὰ μάκαρ πολύμητι, πολύσπορε, βαῖνε γεγηθὼς
Ἐς τελετὴν ἁγίαν πολυποίκιλον ὀργιοφάνταις.

ἌΣΤΡΩΝ θυμίαμα, ἄρωμα.

ἌΣΤΡΩΝ οὐρανίων ἱερὸν σέλας ἐκπροκαλοῦμαι,
Εὐ ἱεραῖς φωναῖσι κικλήσκων δαίμονας ἁγνοὺς.
Ἀστέρες οὐράνιοι, Νυκτὸς φίλα τέκνα μελαίνης,
Ἐγκυκλίοις δίναισι περιθρόνια κυκλέοντες,
Ἀνταυγεῖς, πυρόεντες, ἀεὶ γενετῆρες ἁπάντων.
Μοιρίδιοι, πάσης μοίρης σημάντορες ὄντες·
Θνητῶν ἀνθρώπων θείαν διέποντες ἀταρπόν·
Ἑπταφαεῖς ζώνας ἐφορώμενοι, ἠερόπλαγκτοι.
Οὐράνιοι, χθόνιοί τε, πυρίδρομοι, αἰὲν ἀτειρεῖς.
Αὐγάζοντες ἀεὶ νυκτὸς ζοφοειδέα πέπλον,
Μαρμαρυγαῖς στίλβοντες, εὔφρονες, ἐννύχιοί τε.
Ἔλθετ' ἐπ' εὐιέρου τελετῆς πολυΐστορας ἄθλους,
Ἐσθλοὶ ἐπ' εὐδόξοις ἔργοις δρόμον ἐκτελέοντες.

PRIMIGENII *suffimen, murra.*

PRIMIGENAM *obtestor geminum, magnum, aërivolgum,*
Indugenam, pinnis aureis illustribus aptam:
Taurigenam, Divûm atque hominum genitabile semen,
Antidea in terra celebre & memorabile numen
Inductum, Latium, torrentem, nobile germen.
Qui creperam extersti cæcis caliginem ocellis,
Pervolgans mundi nutantibu' mœnia pennis:
Lumina præpandens, hinc Lunus diceris esse,
Mutinusque Deus, & Noctilucu' crepuscus.
Sed Voltorne pater, Semo lætissimus adsis,
Flaminibus sanctis ad festum pandiculare.

SIDERUM *suffimen, aroma.*

MUNDI *signitenentis ovantia lumina flammis*
Casta voce calo, Geniosque volubili' cœli,
Sidera mundi clara, minuti nocti' quirites,
Circitibus magnis cœli cava conficientes,
Fulgentes, igniti, omnium genitalis origo,
Fatiferi, Mortæ signantes jura severa:
Aptantes divinum itiner mortalibu' primis,
Septenumque tribuni castrorum aërivolgi.
Cælica, terrestris gens, flammivaga, irrequieta;
Nocturni, creperi, observantes pallia furua,
Flammas scintillantes, læti, pervigilesque;
Elicio vos ad festi sacra conscia cultus,
Faustam allucentes facem ad omnia adorea facta.

ἩΛΙΟΥ θυμίαμα λιβανόμανναν.

ΚΛΥ͂ΘΙ μάκαρ, πανδερκὲς ἔχων αἰώνιον ὄμμα·
Τιτὰν χρυσαυγὴς, Ὑπερίων, οὐράνιον φῶς·
Αὐτοφυὴς, ἀκάμα, ζώων ἡδεῖα πρόσοψι·
Δεξιὲ μὲν γενέτωρ ἠοῦς, εὐώνυμε νυκτός·
Κρᾶσιν ἔχων ὡρῶν, τετραβάμοσι ποσὶ χορεύων.
Εὔδρομε, ῥοιζωτὴρ, πυρώεις, φαιδρωπὲ, διφρευτά,
Ῥόμβου ἀπειρεσίου δινεύμασιν οἶμον ἐλαύνων.
Εὐσεβέσιν καθοδηγὲ καλῶν, ζαμενὴς ἀσεβοῦσι·
Χρυσολύρη, κόσμου τὸν ἐναρμόνιον δρόμον ἕλκων.
Ἔργων σημάντωρ ἀγαθῶν, ὡροτρόφε κοῦρε.
Κοσμοκράτωρ, συρικτὰ, πυρίδρομε, κυκλοέλικτε,
Φωσφόρε, αἰολίδικτε, φερέσβιε, κάρπιμε, παιάν·
Αἰθαλὶς, ἀμιαντὲ, χρόνου πέρας· ἀθάνατε Ζεῦ,
Εὔδιε, παμφαῆ· κόσμου τὸ περίδρομον ὄμμα,
Σβεννύμενον λαμπόν τε καλαῖς ἀκτῖσι φαειναῖς·
Δίκτα δικαιοσύνης, φιλονάματε, δέσποτα κόσμου.
Πιστοφύλαξ, αἰεὶ πανυπέρτατε, πᾶσιν ἀρωγέ·
Ὄμμα δικαιοσύνης, ζωῆς φῶς· ὦ ἐλάσιππε,
Μάστιγι σὺν λιγυρῇ τετράορον ἅρμα διώκων,
Κλῦθι λόγων, ἡδὺν δὲ βίον μύστῃσι πρόφαινε.

ΣΕΛΗΝΗΣ θυμίαμα, ἀρώματα.

ΚΛΥ͂ΘΙ θεὰ βασίλεια, φαεσφόρε, δῖα Σελήνη.
Ταυρόκερως μήνη, νυκτιδρόμε, ἠεροφοῖτι.
Ἐννυχία, δαδοῦχε, κόρη εὐάστερε, μήνη·
Αὐξομένη καὶ λειπομένη, θῆλύς τε καὶ ἄρσην·
Αὐγήτειρα, φίλιππε, χρόνου μῆτερ, φερέκαρπε.
Ἠλεκτρὶς, βαρύθυμε, καταυγάστειρα, νυχία·

Παν-

SOLIS *suffimen, libanomanna.*

PRINCEPS *qui æternis oculis opera omnia lustras;*
Titane illustris, præstans, covi omnipotens lux:
Indugena, irrequies, speculumque animantium amicum:
Dextume, Matutæ pater, alme, sinistume noctis:
Temperias moderans, persultans quadrupedanter,
Gradive & torrens, ignite, venuste, curulis,
Conficiens itiner rapida vortigine cursus:
Atque piis hominum dux fauste, nefantibus hostis:
Et fidicen, numerum pinsans modulamini' celsi:
Dux faustorum operum, genitor bone Temperiarum.
Mundiperans, oscen, flammans, circaneus ales:
Lucifer, indagator, alebriu', frugifer, alme,
Igneu', pure, pater tempestatum, omnipotens Dis,
Sude, micans, agilis, mundi stellantis ocelle,
Occidue, & redivive iterum immortalibu' flammis.
Quæstor Justitiaï, aquilustrius, atque here mundi,
Sange, Jovis fidius, supreme atque omnibu' præsens:
Juris cortumio, vitæ lux, trossule equiri,
Quadrijuga arguto instigans soraca flagello,
Ted oramu' Camillis vitam allûxe beatam.

LUNÆ *suffimen, aromata.*

O *Regina potens, Lucina, superrima virgo:*
Luna patali', Venus, Noctuvigila, aërivolga,
Pernox, tædigerens, stellis comitia, Luna:
Jana novella, senescens, fœmina, masculus idem:
Luna autumna, micans, sæclorum mater equestris:
Succina, Væjovis, illustris, dilucula, pernox:

Πανδερκὴς, φιλάγρυπνε, καλοῖς ἄστροισι βρύουσα·
Ἡσυχίᾳ χαίρουσα καὶ εὐφροσύν' ὀλβιομοίρῳ·
Λαμπετίη, χαροδῶτι, τελεσφόρε, νυκτὸς ἄγαλμα.
Ἀστράρχη, τανύπεπλ', ἑλικοδρόμε, πάνσοφε κούρη,
Ἐλθὲ μάκαιρ' εὔφρων, εὐάστερε, φέγγεϊ τῷ σῷ
Λαμπομένη, σώζουσα τοὺς ἱκέτας * ἐς λοκούρη.

ΦΥΣΕΩΣ θυμίαμα, ἀρώματα.

Ὦ Φύσι παμμήτειρα θεὰ, πολυμήχανε μῆτερ,
Ἐγρεκνία, πρέσβειρα, πολύκτιτε δαῖμον ἄνασσα·
Πανδαμάτωρ, ἀδάμαστε, κυβερνήτειρα παναυγὴς,
Παντοκράτειρα, τετιμένα, πανυπέρτατε πᾶσιν.
Ἄφθιτε, πρωτογένεια, παλαίφατε, κυδιάνειρα.
Ἐννυχία, πολύτειρε, σελασφόρε, δεινοκάθεκτε,
Ἄψοφον ἀστραγάλοισι ποδῶν ἴχνος εἰλίασουσα·
Ἁγνὴ κοσμήτειρα θεῶν, ἀτελῆς τε τελευτὴ,
Κοινὴ μὲν πάντεσσιν, ἀκοινώνητε δὲ μούνη·
Αὐτοπάτωρ, ἀπάτωρ, ἀρετή πολύγηθε μεγίστη.
Εὐάνθεια πλοκὴ, φιλία, πολύμικτε, δαῆμον·
Ἡγεμόνη, κράντειρα, φερέσβιε, παντρόφε κούρη,
Αὐτάρκεια, δίκη· Χαρίτων πολυώνυμε πειθώ.
Αἰθερία, χθονία, καὶ εἰναλία μεδέουσα.
Πικρὰ μὲν φαύλοισι, γλυκεῖα δὲ πειθομένοισι.
Πάνσοφε, πανδώτειρα, κομίστρια, παμβασίλεια·
Αὐξιτρόφων πίειρα, πεπαινομένων δὲ λύτειρα.
Πάντων μὲν σὺ πατὴρ, μήτηρ, τροφὸς, ἠδὲ τιθηνός.
Ὠκυλόχεια, μάκαιρα, πολύσπορος, ὡραὰς, ὁρμὴ,
Παντοτεχνὲς, πλάστειρα, πολύκτιτι, πότνια δαῖμον,
Ἀϊδία, κινησιφόρε, πολύπειρε, περίφρων·
Ἀενάῳ στροφάλιγγι θοὸν ῥύμα δινεύουσα.

Πάνρυτε,

Omnituens, levisomna, cluens stipantibu' signis.
Lætitiæ locupletis amans, pacisque Vacunæ:
Percoquifrux, Trivia, Lucetia, noctis ocelle.
Astrica, prætextata, obstita, Minerva virago;
Huc ades ó stellata lubenter, splendida, fulgens
Luce tua, & tu supplicibus, studiosa, faveto.

NATURÆ *suffimen, aromata.*

NATURA *omniparens, doctissima, dædala mater*
Cæligena & Majesta, faber, Regina venusta,
O victrix, invicta, magistra, eadem omnibu' lucens,
Induperans, & honora, & præstantissima rerum:
Primigena, æterna, incanaque, casca virago,
Noctua signitenens, Lucinaque, & omnipotens vis,
Mollia suspensis pedibus vestigia librans:
Ornatrix augusta Deûm, infinitaque finis,
Nulli communis, communiter officiosa,
Indugena, sine patre, cluens virtutibu' magnis:
Flora, Venus, Pomona, Volupia, plurima saga,
Dux & sanga potis, Vitunaque, Rumia mater,
Juritis, satiasque venustatumque Süada:
Cælica, terricola, dans jura potentibus undis:
Semper amara malis, & semper amica piorum:
Saga, cata, omnidua, eductrix, regina, potestas
Aprilis adolescentum, indidem adulta resolvens.
Omnium tu pater & mater, nutrix quoque & altrix.
Nummeria atque b ata, Ceres, vis Temperiarum,
Omniparens, figula, & multarum persica rerum,
Æterna, & motans, sapientipotensque Minerva,
Pilentum rapidum æterna vortigine torquens:

Πάνρυτε, κυκλοτερὴς, ἀλλοτριομορφοδίαιτε.
Ἔνθρονε, τιμήεσσα, μόνη τὸ κραθὲν τελέουσα,
Σκηπτούχων ἐφύπερθε, βαρυβρεμέτειρα, κρατίστη.
Ἄτρομε, πανδαμάτειρα, πεπρωμένη αἶσα, πυρίπνους.
Ἀΐδιος ζωὴ ἠδ' ἀθανάτη τε πρόνοια.
Πάντα σοι εἰσί· τὰ πάντα σὺ γὰρ τάδε μούνη τεύχεις.
Ἀλλὰ θεὰ λίτομαί σε, σὺν εὐόλβοισιν ἐν ὥραις
Εἰρήνην, ὑγίειαν ἄγειν, αὔξησιν ἁπάντων.

ΠΑΝΟΣ θυμίαμα, ποικίλα.

ΠΑΝΑ καλῶ κρατερὸν, * κόσμοιο τὸ σύμπαν,
Οὐρανὸν, ἠδὲ θάλασσαν, ἰδὲ χθόνα παμβασίλειαν,
Καὶ πῦρ ἀθάνατον· τάδε γὰρ μέλη ἐστὶ τὰ Πανός.
Ἐλθὲ μάκαρ σκιρτητὰ, περίδρομε, σύνθρονε ὥραις·
Αἰγομελὲς, βακχευτὰ, φιλένθεε, ἀστροδίαιτε.
Ἁρμονίαν κόσμοιο κρέκων φιλοπαίγμονι μολπῇ.
Φαντασιῶν ἐπαρωγὲ, φόβων ἔκπαγλε βροτείων.
Αἰγονόμοις χαίρων ἀνὰ πίδακας ἠδέ τε βούταις,
Εὔσκοπε, θηρητὴρ, ἠχοῦς φίλε, σύγχορε νυμφῶν.
Παντοφυὴς, γενέτωρ πάντων, πολυώνυμε δαῖμον.
Κοσμοκράτωρ, αὐξητὰ φαεσφόρε, κάρπιμε παιάν
Ἀντροχαρὲς, βαρύμηνις, ἀληθὴς Ζεὺς ὁ κεράστης.
Σοὶ γὰρ ἀπειρέσιον γαίης πέδον ἐστήρικται,
Εἴκει δ' ἀκαμάτου πόντου τὸ βαθύστορον ὕδωρ,
Ὠκεανός τε πέριξ ἐν ὕδασι γαῖαν ἑλίσσων.
Ἀέριόν τε μέρισμα, τροφῆς ζωοῖσιν ἔναυσμα,
Καὶ κορυφῆς ἐφύπερθεν ἐλαφροτάτου πυρὸς ὄμμα.
Βαίνει γὰρ τάδε θεῖα πολύκριτα σαῖσιν ἐφετμαῖς.
Ἀλλάσσεις δὲ φύσεις πάντων ταῖς σαῖσι προνοίαις,
Βόσκων ἀνθρώπων γενεὴν κατ' ἀπείρονα κόσμον.

Juno Fluonia, circinaque, & Vortumnifigura,
Et majesta curulis, honoraque, juraque dictans,
Semper ovans supra regum caput, induperatrix.
Intrepida, omnidomans, parca, flammata, Tenira.
Flos vitæ æternæ, immortalis, Mammuriæ vis.
Omnia tu sola es: namque omnia tu paris ipsa.
Quare ted oro cum ditibu' Temperiabus,
Pacemque atque salutem age, & omnifera augmina rerum.

FAUNI *suffimen, odoramenta omnigena.*

F*AUNE ades Upilio, mundi substantia totus,*
Cælum, salsa maris, terraï dædala sedes,
Spiritu' flammaï: namque hæc membra omnia Fauni,
Peruage Faune, Sali, collegaque Temperiarum,
Capripes & fanatice, ovator, siderivolge:
Vocibu' flexanimis mundi concenta figurans,
Larvarum Titule, humanûm remeligo tremorum,
Propter aquas gaudens pastoribus atque bubulcis,
Collimans, velox, Aiæ igni', sodali' Virarum,
Omnigena, omnigenens, rerum celebrata potestas:
Mundiperans, Lucine, Juturne, Autumne, nutritor.
Antricola, irritabili', jure Jovis capricornus,
In te nam omniparæ terraï stant sola fixa,
Æterni & cedunt lætantia marmora Ponti,
Et terram Oceanus lustrans anfractibu' salsis:
Portioque aëria, ignipotens alimonia rerum,
Et caput ad summum pernicia lumina flammæ.
Nam concreta tuo imperio hæc æterna feruntur,
Naturamque tuis mutas pollentibu' jussis,
Multorum auctans in terra mortalia secla.

Ἀλλὰ μάκαρ βακχευτὰ φιλένθεε βαῖν' ἐπὶ λοιβαῖς
Εὐιέροις· ἀγαθὴν δ' ὄπασον βιότοιο τελευτὴν,
Πανικὸν ἐκπέμπων οἶστρον ἐπὶ τέρματα γαίης.

ἩΡΑΚΛΕΟΥΣ θυμίαμα, λίβανον.

Ἡρακλες ὀβριμόθυμε, μεγασθενὲς, ἄλκιμε τιτὰν,
Καρτερόχειρ, ἀδάμαστε, βρύων ἄθλοισι κραταιοῖς,
Αἰολόμορφε, χρόνου πάτερ, ἀΐδιέ τε, εὔφρων,
Ἄρρητ', ἀγριόθυμε, πολύλλιτε, παντοδυνάστα.
Παγκρατὲς ἦτορ ἔχων, κάρτος μετὰ τόξα, καὶ μάντι.
Παμφάγε, παγγενέτωρ, παννυπέρτατε, πᾶσιν ἀρωγέ·
Ὃς θνητοῖς κατέπαυσας, ἀνήμερα φῦλα διώξας·
Εἰρήνην ποθέων κουροτρόφον, ἀγλαότιμον·
Αὐτοφυὴς ἀκάμας, γαίης βλάστημα φέριστον.
Πρωτογόνοις στράψας φολίσι, μεγαλώνυμε ναίων.
Ὃς περὶ κρατὶ φορεῖς ἠῶ καὶ νύκτα μέλαιναν·
Δώδεκ' ἀπ' ἀντολιῶν ἄχρι δυσμῶν ἆθλα διέρπων·
Ἀθανάτοις πολύπειρος, ἀπείρατος, ἀστυφέλικτος.
Ἐλθὲ μάκαρ, νούσων θελκτήρια πάντα κομίζων.
Ἐξέλασον δὲ κακὰς ἄτας, κλάδον ἐν χερὶ πάλλων
Πτηνοῖς τ' ἰοβόλοις κῆρας χαλεπὰς ἐπίπεμπε.

ΚΡΟΝΟΥ θυμίαμα, στύρακα.

Αἰθαλὴς μακάρων τε θεῶν πάτερ ἠδὲ καὶ ἀνδρῶν,
Ποικιλόβουλ', ἀμίαντε, μεγασθενὲς, ἄλκιμε τιτάν·
Ὃς δαπανᾶς μὲν ἅπαντα καὶ αὔξεις ἔμπαλιν αὐτός·
Δεσμοὺς ἀρρήτους ὃς ἔχεις καθ' ἀπείρονα κόσμον·
Αἰῶνος Κρόνε παγγενέτωρ, Κρόνε ποικιλόμυθε·
Γαίης τε βλάστημα καὶ οὐρανοῦ ἀστερόεντος·
Γέννα, φυὴ μείωσι, Ῥέας πόσι, σεμνὲ Προμηθεῦ.

Ὃς

Ergo pater fanatice, ovator, ad hæc tua liba
Vise, & vitaï bene dones exita justa,
Externans Inuos terrores finibu' terræ.

HERCULIS SANGI FIDII *suffimen, tus.*

SANGE *pater Titane, Nero, Nerien viriate,*
Vastimanusque, invicte, aptus pal maria opima,
Volturne, auctor temperi', sempiterne, benigne,
Indicte, agrestis, bene votite, induperator,
Magnanimum cor habens, fera membra, salutifer augur:
Omnivore, omniparens, præstane, pater Tutane.
Qui Titulus clui', debellans incicora monstra:
Semper ovans pacis studiis, nutricis honoræ:
Nate tuo ingenio, Terraï invicta propages,
Ignibu' primigenis florens, ó die cluenti.
Matutam capiti gestans, noctemque crepuscam:
Sex bis ad occasum absolvens certamina ab ortu:
Diis experte, & inexperte, inconcusse lacertos;
Adsis, morborum averrunca piamina portans:
Et portenta move, quatiens sacra februa dextra:
Et mala præpetibus protela obscœna sagittis.

SATURNI *suffimen, sturaca,*

COELIGENUM *Divorum, hominumque illustris origo,*
Multivore, & Lustrali', Nero, Nerien, Titane:
Qui cuncta absumis, quique omnia perficis idem,
Vinclis indupedite per orbis vasta silenta:
Saturne ævi progenitor, Saturne dolose,
Terraï proles, & cœli signitenentis:
Stirps, genus, obstetrix, Titane endostrue, Opis vir,

Qui

Ὃς ναίεις κατὰ πάντα μέρη κόσμοιο, γενάρχα,
Ἀγκυλομῆτα, φέριστε· κλύων ἱκετηρίδα φωνὴν,
Πέμποις εὔολβον βιότου τέλος αἰὲν ἄμεμπτον.

ῬΕΑΣ θυμίαμα, ἀρώματα.

ΠΟΤΝΙΑ Ῥέα, θύγατερ πολυμόρφου Πρωτογόνοιο,
Ἥτ' ἐπὶ ταυροφόρον ἱερότροχον ἅρμα τιταίνεις·
Τυμπανόδουπε, φιλοιστρομανὲς, χαλκόκροτε κούρη,
Πάντων μῆτερ, ἀγλαόμορφε, Κρόνου σύλλεκτρε μάκαιρα.
Οὔρεσιν ἣ χαίρεις, θνητῶν τ' ὀλολύγμασι φρικτοῖς.
Παμβασίλεια Ῥέα, πολεμόκλονε, ὀβριμόθυμε·
Ψευδομένη, σώτειρα, λυτηριάς, ἀρχιγένεθλε.
Μήτηρ μὲν τε θεῶν ἠδὲ θνητῶν ἀνθρώπων.
Ἐκ σοῦ γὰρ καὶ γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,
Καὶ πόντος, πνοιαί τε. φιλόδρομε ἀερόμορφε,
Ἐλθὲ μάκαιρα θεὰ σωτήριος εὔφρονι βουλῇ.
Εἰρήνην κατάγουσα σὺν εὐόλβοις κτεάτεσσι,
Λύματα καὶ κῆρας πέμπουσ' ἐπὶ τέρματα γαίης.

ΔΙΟΣ θυμίαμα, στύρακα.

ΖΕΥ πολύτιμε, Ζεῦ ἄφθιτε, τήνδε τοι ἡμεῖς
Μαρτυρίαν τιθέμεσθα λυτήριον, ἠδὲ πρόσευξιν.
Ὦ βασιλεῦ, διὰ σὴν κεφαλὴν ἐφάνη τάδε ῥεῖα,
Γαῖα θεὰ μήτηρ, ὀρέων θ' ὑψηχέες ὄχθοι,
Καὶ πόντος, καὶ πάνθ' ὁπόσ' οὐρανὸς ἐντὸς ἔταξε.
Ζεῦ κρόνιε, σκηπτοῦχε, καταιβάτα, ὀβριμόθυμε.
Παντογένεθλ', ἀρχὴ πάντων πάντων τε τελευτή.
Σεισίχθων, αὐξητὰ, καθάρσιε, παντοτινάκτα,
Ἀστραπαῖε, βρονταῖε, κεραύνιε, φυτάλμιε Ζεῦ.
Κλῦθί μου αἰολόμορφε, δίδου δ' ὑγείαν ἀμεμφῆ.

Εἰρήνην

Qui genitalis obis per mundi ſingula membra,
Calvitor, verſute: favens orantibu' votis,
Æquanimum vitæ finem mortalibus adfer.

LATIÆ OPIS *ſuffimen, aromata*

OPS *veneranda, genus Vortumni Primigenaî,*
Quæque agitas etiam voluentia plauſtra Trionum.
Tumpaniverbera, cerita, atque æricrepa virgo,
Mater magna Jovis, Latia, Ops cœleſti', paluda,
Polcra, & honorata, & Saturni auguſta marita,
Montibu' quæ gaudes, hominumque ululatibu' ſacris,
Ops Majeſta, parens bellicrepa, Nerio Dia,
Soſpitaque & mendax, Picumnaque, Libera mater:
Mater cœligenûm, mater mortalium homonum:
Ex te etenim Tellus, ſedeſque ſuperrima Cœlus,
Et mare ſalſum, auræque errones, aëriformis:
Quare dia adſis huc ſoſpes numine claro,
Pacem producens cum rerum copia opima.
Eminu', protelans peſteſque piaculaque atra.

JOVIS *ſuffimen, ſturaca.*

O *venerande Jovis, Jovi' ſempiterne, tibi iſta*
Averrunca damus nos, adteſtataque vota.
O Jovis iſthæc cuncta tuo ſunt numine creta.
Terra tua eſt, Terræque immania culmina montes,
Et mare, quæque fretu aerio cortina recepta.
Induperans, Saturniu', Juppiter, Elicius, Trux,
Omnigenens, atque omnium principium, exitium omnium.
Fulgetrum, tonitru, fulgur, Jovi' progenerator:
Audi me Volturne, & da uſurpare ſalutem,

Εἰρήνην τε θεὰν, καὶ πλούτου δόξαν ἄμεμπτον.

ἭΡΑΣ θυμίαμα, ἀρώματα.

Κυανέοις κόλποισιν ἐνημμένη, ἀερόμορφε,
Ἥρα παμβασίλεια, Διὸς σύλλεκτρε μάκαιρα,
Ψυχοτρόφους αὔρας θνητοῖς παρέχουσα προσηνεῖς.
Ὄμβρων μὲν διερῶν, ἀνέμων τροφὲ, παντογένεθλε.
Χωρὶς γὰρ σέθεν οὐδὲν ὅλως ζωῆς φύσιν ἔγνω·
Κοινωνεῖς γὰρ ἅπασιν κεκραμένη περὶ σεμνῶς.
Πάντων γὰρ κρατέεις μούνη, πάντεσσί τ' ἀνάσσεις,
Ἠερίοις ῥοίζοισι τινασσομένη κατὰ χεῦμα.
Ἀλλὰ μάκαιρα θεὰ πολυώνυμε παμβασίλεια
Ἔλθοις εὐμενέουσα καλῷ γήθοντι προσώπῳ.

ΠΟΣΕΙΔΩ͂ΝΟΣ θυμίαμα, σμύρναν.

Κλῦθι Ποσειδάον γαιήοχε κυανοχαῖτα,
Ἵππιε, χαλκοτόρευτον ἔχων χείρεσσι τρίαιναν.
Ὃς ναίεις πόντοιο βαθυστέρνοιο θέμεθλα,
Ποντομέδων, ἁλίδουπε, βαρύκτυπε, ἐννοσίγαιε·
Κυμοθαλὴς, χαριτῶπα, τετράορον ἅρμα διώκων,
Εἰναλίοις ῥοίζοισι τινάσσων ἁλμυρὸν ὕδωρ.
Ὃς τριτάτης ἔλαχες μοίρης βαθὺ χεῦμα θαλάσσης,
Κύμασι τερπόμενος θήρεσιν θ' ἅμα, πόντιε δαῖμον.
Ἕδρανα γῆς σώζοις καὶ νηῶν εὔδρομον ὁρμὴν,
Εἰρήνην, ὑγίειαν ἄγων ἠδ' ὄλβον ἀμεμφῆ.

Εἰς ΠΛΟΥΤΩΝΑ.

Ὦ τὸν ὑποχθόνιον ναίων δόμον, ὀβριμόθυμε,
Ταρτάρεον λειμῶνα βαθύσκιον ἠδὲ λιπαυγῆ,
Ζεῦ χθόνιε σκηπτοῦχε, τάδ' ἱερὰ δέξο προθύμως.

Πλου-

Et pacem diam, & bona adorea divitiarum.

JUNONIS *ſuffimen, aromata.*

CÆRULEIS *innixa ſedilibus aëriformis,*
O Juno regina, Jovis ditiſſima conjux,
Quæ mortalia corda veges animalibus auris.
Nimborum mater, ventorumque omnigenitrix.
Nam ſine te non eſt vitæ ſpirabilis ardor:
Omnibu' participas immiſſa potentibu' auris,
Omnia ſola tenes, atque omnibus incluta regnas.
Aëri' præcipitans ſtridore fluonia Juno.
Sed te Diva parens obteſtor, adorea, Maja,
Huc ſodes venias volti ridente lepore.

NEPTUNI *ſuffimen, murra.*

AUDI Neptune, *Ambarualis, Salſicapille,*
Troſſule, fuſcinam habens manibus Neptune *tridentem;*
Cærula concelebrans vaſti fundamina Ponti,
Ponti prætor, aquigrume, crepe, Terripreme acer,
Undifluens, & rava tuens, agitansque quadrigas,
Expergefaciens vegeto vada ſalſa tremore:
Tertia quoi ſorti ceſſit tutela marina,
Scamigerum pecu amans, & aquas ſali', cærule Die:
Siſte ſtatum terræ, aſpirans bona navibu' flabra,
Pacemque atque ſalutem addens, & opum aurea dona.

In VÆJOVEM, *carmen.*

MAGNANIME, *induſerûm pervolgans fulva ſilenta,*
Tartarea atque crepuſca, oblitera prata tenebris.
Tellumo Væjovis, arſerio te hoc munere macto.

Dis

Πλούτων ὃς κατέχεις γαίης κληῖδας ἁπάσης,
Πλουτοδοτῶν γενεὴν βροτέην καρποῖς ἐνιαυτοῦ,
Ὃς τριτάτης μοίρης ἔλαχες χθόνα παμβασίλειαν,
Ἕδραν ἀθανάτων, θνητῶν στήριγμα κραταιόν·
Ὃς θρόνον ἐστήριξας ὑπὸ ζοφοειδέα χῶρον,
Τηλεπόρον τ' ἀκάμαντα, λιπόπνοον, ἄκριτον ᾅδην,
Κυάνεόντ' Ἀχέρονθ', ὃς ἔχει ῥιζώματα γαίης.
Ὃ κρατέεις θνητῶν θανάτου χάριν, ὦ πολυδαῖμον,
Εὔβουλ'· ἁγνοπόλου Δημήτερος ὅς ποτε παῖδα
Νυμφεύσας λειμῶνος ἀποσπαδάην διὰ πόντου,
Τετρώροις ἵπποισιν ὑπ' Ἀτθίδος ἤγαγες ἄντρον,
Δήμου Ἐλευσῖνος, τόθι περ πύλαι εἰσ' ἀΐδαο.
Μοῦνος ἔφυς ἀφανῶν ἔργων φανερῶν τε βραβευτής.
Ἔνθεε, παντοκράτωρ, ἱερώτατε, ἀγλαότιμε,
Σεμνοῖς μυστοπόλοις χαίρων ὁσίοις τε σεβασμοῖς·
Ἵλαον ἀνκαλέω σε μολεῖν κεχαρηότα μύσταις.

ΚΕΡΑΥΝΙΟΥ ΔΙΟΣ θυμίαμα, στύρακα.

ΖΕΥ͂ πάτερ, ὑψίδρομον πυραυγέα κόσμον ἐλαύνων,
Στράπτων αἰθερίου στεροπῆς πανυπέρτατον αἴγλην,
Παμμακάρων ἕδρανον θείαις βρονταῖσι τινάσσων,
Νάμασι παννεφέλοις στεροπὴν φλεγέθουσαν ἀναίθων.
Λαίλαπας, ὄμβρους, πρηστῆρας, κρατεροὺς τε κεραυνοὺς
Βάλλων ἐς ῥοθίους φλογεροὺς, βελέεσσι καλύπτων
Παμφλέκτους, κρατεροὺς, φρικώδεας, ὀβριμοθύμους·
Πτηνὸν ὅπλον δεινὸν, χρονοκάρδιον, ὀρθοέθειρον,
Αἰφνίδιον, βρονταῖον, ἀνίκητον βέλος ἁγνὸν,
Ῥοίζου ἀπειρεσίου δινεύμασι παμφάγον ὁρμῇ,
Ἄρρηκτον, βαρύθυμον, ἀμαιμάκετον, πρηστῆρος
Οὐράνιον βέλος ὀξὺ καταιβάτου αἰθαλόεντος.

Ὂν-

Dis qui cardineus Terræ cluis omniparentis:
Sæcla nimis ditans mortalia frugibus hornis,
Tertia quoi sorti tutela obuênit Averni,
Cælituum solium, firmum stabilimen homonum.
Qui solum habes, ad castra obnubila, senta tenebris,
Longinqui, æterni, & inexorabilis Orci,
Atque Acherunta atrum, terraï immane statumen:
Jura tenens hominum Mortai munere, sancte,
Conse, Deæ Cereris pueram qui victus amore,
Gramineo raptam prato per cærula ponti
Quadrijugo avexisti equitatu ad Atthidis antrum,
Gentis Eleusinæ: ubi sint spiracula Averni.
Unice nota Deus censens ignotaque rerum.
Cerite, induperans, sanctissime, compos honorum,
Vatibu' præstitibus gaudens, & cultibu' sanctis:
Mitis ades, rogo te, lætus venerantibu' turbis.

TONANTIS JOVIS *suffimen, sturacem.*

JUPPITER, *altisoni torquens loca flammea mundi,*
Fulgetrarum animas crispans petulantibu' flammis,
Cœlituum sedes conquassans fulmine sacro,
Flamigeris stringens streperos torrentibus ignes:
Tormina qui, nimbos, rubra tela, tonitrua bruta
Vibras, involuens animata rubentibu' telis,
Flammivoma, & perterricrepa, iritata ruinis,
Præpes, ovans telum, cordigrumum, horricapillum.
Insperatum, ardens, victricis missile dextræ,
Omnivorum insano plangens horrore tumultum,
Indomitum, horriferum, candenti flamine præceps.
Cælivagum telum, velox, Jovis Elicii arma.

Quem

Ὃν καὶ γαῖα πέφρικε θάλασσά τε παμφανόωσα,
Καὶ θῆρες πτήσσουσιν, ὅταν κτύπος οὖας ἐσέλθῃ·
Μαρμαίρει δὲ πρόσωπ' αὐγαῖς, σμαραγεῖ δὲ κεραυνὸς,
Αἰθέρος ἐν γυάλοισι. διαρρήξας δὲ χιτῶνα,
Οὐράνιον προκάλυμμα βάλλεις ἀργῆτα κεραυνόν.
Ἀλλὰ μάκαρ θυμὸν ὄβριμον ἔμβαλε κύμασι πόντου,
Ἠδ' ὀρέων κορυφαῖσι· τὸ σὸν κράτος ἴσμεν ἅπαντες.
Ἀλλὰ χάριν λοιβαῖσι δίδου, φρεσὶν αἴσιμα πάντα,
Ζωήν τ' ὀλβιόθυμον, ὁμοῦ θ' ὑγίειαν ἄνασσαν·
Καὶ βίον εὐθύμοισιν ἀεὶ θάλλοντα λογισμοῖς.

ΔΙΟ'Σ 'ΑΣΤΡΑΠΕ'ΩΣ
θυμίαμα, λιβανομάνναν.

ΚΙΚΛΗ'ΣΚΩ μέγαν ἁγνὸν ἐρισμάραγον, περίφαντον,
Ἀέριον, φλογόεντα, πυρίδρομον, ἀεροφεγγῆ,
Ἀστράπτοντα σέλας νεφέων παταγοδρόμῳ αὐδῇ,
Φρικώδη, βαρύμηνιν, ἀνίκητον θεὸν ἁγνὸν,
Ἀστραπέα Δία, παγγενέτην, βασιλῆα μέγιστον,
Εὐμενέοντα φέρειν γλυκερὴν βιότοιο τελευτήν.

ΝΕΦΕΛΩ͂Ν θυμίαμα, σμύρναν.

ΑΕ'ΡΙΟΙ Νεφέλαι, καρποτρόφοι, οὐρανόπλαγκτοι,
Ὀμβροτόκοι, πνοιαῖσιν ἐλαυνόμεναι κατὰ κόσμον·
Βρονταῖαι, πυρόεσσαι, ἐρίβρομοι, ὑγροκέλευθοι.
Ἀέρος ἐν κόλπῳ πάταγον φρικώδη ἔχουσαι.
Πνεύμασιν ἀντίσπαστοι ἐπιδρομάδην παταγεῦσαι·
Ὑμᾶς νῦν λίτομαι δροσοείμονες εὔπνοοι αὔραις,
Πέμπειν καρποτρόφους ὄμβρους ἐπὶ μητέρα γαῖαν.

Quem tremit omniparens Tellus, quem marmora ſalſa,
Vivaque ſæcla, ſonor tergens cum perſonat aures:
Luminibus fulgit ſpecies, rubra fulgura ſplendent
Aëris in caulis, & tenuia tegmina ſcindens,
Obnupti Cœli candentia fulmina torques.
Aſt ó Die, effunde iras apud æquora ſalſa,
Et montana juga: haud tua robora magne latent nos.
Sed faveas ſacris, & mentibu' grata repende
Vitaï bona cara, vigentia regna ſalutis.
Et pacem Divûm, nutricem ſemper honoram:
Et victum æquanimis ſemper rationibus aptum.

JOVIS FULGETRII *ſuffimen, libanomanna.*

OBTESTOR *magnum, perterricrepum, manifeſtum,*
Aerium, flammantem, ignicreperum, aërilucum,
Nubium inſtigantem æſtus ſingultibu' brutis,
Horrendum, inſanum, indomitum, luſtrabile numen,
Fulgetrumque Jovem induperatorem, omnigenentem,
Tradere inoffenſæ vitaï terminum amœnum.

NEBULARUM *ſuffimen, murra.*

AERIÆ *nebulæ, aërivolgæ, frugiparentes,*
Imbriparæ, per mundum agitatæ ingentibus auris:
Fulmineæ, ignitæ, ſtreperæ, atque humectivagantes,
Aëris in gremio hortantes inamabile murmur:
Flaminibus pulſæ ſtridentes impete magno.
Nunc vos roſcidulæ obteſtor ſpirantibus auris,
Præcipitare imbres in terram frugiferentes.

ΘΑΛΑΣΣΗΣ θυμίαμα, λιβανομάνναν.

Ὠκεανοῦ καλέω νύμφην γλαυκώπιδα Θηθὺν,
Κυανόπεπλον ἄνασσαν, εὔτροχα κυμαίνουσαν,
Αὔραις ἡδυπνόοισι πατασσομένην περὶ γαῖαν.
Θραύουσ' αἰγιαλοῖσι πέτρῃσί τε κύματα μακρά,
Εὐδεινοῖς ἁπαλοῖσι γαληνιόωσα δρόμοισι
Ναυσὶν ἀγαλλομένη, θηροτρόφε, ὑγροκέλευθε.
Μήτηρ μὲν Κύπριδος, μήτηρ νεφέων ἐρεβεννῶν,
Καὶ πάσης πηγῆς νυμφῶν νασμοῖσι βρυούσης·
Κλῦθί μου ὦ πολύσεμνε, καὶ εὐμενέουσ' ἐπαρήγοις,
Εὐθυδρόμοις οὖρον ναυσὶν πέμπουσα μάκαιρα.

ΝΗΡΕΩΣ θυμίαμα, σμύρναν.

Ὦ κατέχων πόντου ῥίζας κυαναυγέτιν ἕδρην,
Πεντήκοντα κόραισιν ἀγαλλόμενος κατὰ κῦμα,
Καλλιτέκνοισι χοροῖς, Νηρεῦ μεγαλώνυμε δαῖμον·
Πυθμὴν μὲν πόντου, γαίης πέρας, ἀρχὴ ἁπάντων.
Ὃς κλονέεις Δηοῦς ἱερὸν βάθρον, ἡνίκα πνοιὰς
Ἐν μυχίοις κευθμῶσιν ἐλαυνομένας ἀποκλείοις·
Ἀλλὰ μάκαρ σεισμοὺς μὲν ἀπότρεπε, πέμπε δὲ μύσταις
Ὄλβον ἐπ' εἰρήνῃ τε καὶ ὀλβιόχειρον ὑγείην.

ΝΗΡΗΪΔΩΝ θυμίαμα, ἀρώματα.

Νηρέως εἰναλίου νύμφαι καλυκώπιδες ἁγναί,
Σφραγίαι, βύθιαι, χοροπαίγμονες, ὑγροκέλευθοι,
Πεντήκοντα κόραι περὶ κύμασι βακχεύουσαι,
Τριτώνων ἐπ' ὄχοισιν ἀγαλλόμεναι περὶ νῶτα,
Θηροτύποις μορφαῖς, ὧν βόσκει σώματ' ὁ πόντος·
Ἄλλοι θ' οἳ ναίουσι βυθὸν, τριτώνιον οἶδμα,

DIVÆ VENILIÆ SALACIÆ *ſuffimen, libanomanna.*

OCEANI inducalo te glauca Venilia proles
Cærulipalla, vagans loca per lætantia Ponti,
Am terræ finis exercita ſuavibus auris,
Murmura pulvinis ripæ alludentia ſrangens:
Atque exercitiis ſudis pellacibu' ludens,
Navibus exultans, pecoroſa loca humida luſtrans.
O mater Veneris, nebularum mater ovantum,
Et fontium omnigenum, liquentum ſuavibus undis:
Huc adſis nobis, & blanda illabere votis,
Navibus immittens animarum flamina ſuda.

TERENTI CONSI *ſuffimen, murra.*

O qui ſalſa tenes liquidi penetralia mundi,
Quinquaginta una puſis per cærula gaudens,
Cœtibu' virgineis, genius maris alme Terente:
Fundamen mari', margo terræ, principium omnium:
Qui moliri' ſtatum terræ, cum ſcilicet arces
In caveis olim indignantes murmure Cauros.
Sed motus terræ averrunca, & mitte miniſtris
Flaminibus, pacemque & opes, ditemque ſalutem.

SALACIARUM NERIENUM *ſuffimen, aromata.*

PULLÆ cæruleæ, liquidi gens blanda Terenti,
Ædicolæ, Latiæ, ludicræque, fluitantes:
Quinquaginta vago fatuantes marmore puſæ
Tritonum currus ſectantes pone, inhiantes
Semiferis Geniis quos vitreus educat humor:
Atque aliis quicunque colunt liquentia caſtra,

Ὑδροδρόμοι, σκιρτητῆ, ἑλισσόμενοι περὶ κῦμα,
Ποντοπλάνοι δελφῖνες, ἁλιῤῥόθιοι, κυαναυγεῖς.
Ὑμᾶς κικλήσκω πέμπειν μύσταις πολλὴν ὄλβον.
Ὑμεῖς γὰρ πρῶται τελετὴν ἀνεδείξατε σεμνὴν
Εὐίερου Βάκχοιο καὶ ἁγνῆς Φερσεφονείης,
Καλλιόπῃ σὺν μητρὶ, καὶ Ἀπόλλωνι ἄνακτι.

ΠΡΩΤΕΩΣ θυμίαμα, στύρακα.

ΠΡΩΤΕΑ κικλήσκω, πόντου κληῖδας ἔχοντα,
Πρωτογενῆ, πάσης φύσεως ἀρχὰς ὃς ἔφηνεν.
Ὕλην ἀλλάσσων ἱερὴν ἰδέαις πολυμόρφοις,
Πάντιμος, πολύβουλος, ἐπιστάμενος τά τε ὄντα,
Ὅσσα τε πρόσθεν ἔην, ὅσα τ' ἔσσεται ὕστερον αὖτις·
Πάντα γὰρ ἐν Πρωτεῖ πρώτη φύσις ἐγκατέθηκεν.
Ἀλλὰ πάτερ μόλε μυστιπόλοις ὁσίαισι προνοίαις,
Πέμπων εὐόλβου βιότου τέλος ἐσθλὸν ἐπ' ἔργοις.

ΓΗΣ θυμίαμα, πᾶν σπέρμα, πλὴν κυάμων καὶ ἀρωμάτων.

ΓΑΙΑ θεὰ, μῆτερ μακάρων θνητῶν τ' ἀνθρώπων,
Πάντροφε, πανδότειρα, τελεσφόρε, παντολέτειρα,
Αὐξιθαλὴς, φερέκαρπε, καλαῖς ὥραισι βρύουσα.
Ἕδρανον ἀθανάτου κόσμου, πολυποίκιλε κούρη,
Ἣ λοχίαις ὠδῖσι κύεις καρπὸν πολυειδῆ·
Ἀϊδία, πολύσεπτε, βαθύστερν', ὀλβιόμοιρε,
Ἡδυπνόοις χαίρουσα χλόαις πολυανθέσι δαῖμον·
Ὀμβροχαρὴς, περὶ ἣν κόσμος πολυδαίδαλος ἄστρων
Εἱλεῖται φύσει ἀενάῳ καὶ ῥεύμασι δεινοῖς.
Ἀλλὰ μάκαιρα θεὰ καρποὺς αὔξοις πολυγηθεῖς,
Εὐμενὲς ἦτορ ἔχουσα σὺν ὀλβίοισιν ἐν ὥραις.

Undicolæ, Salii, lustrantes agmina aquarum,
Undivagi, liquidi Delphini, glauca tuentes,
Vos oro magnam copem rem cette Camillis.
Nam vos festa coëgistis Comitia primæ.
Liberi augusti, & Liberæ augustaï,
Lucinia cum matre, & Apollinere induperante.

JANI MAJI *suffimen, sturacem.*

TE colo naturæ salsæ Majum æedituentem,
Primigenam, qui naturam egit in ordia prima,
Omnimodis mutans sacra fœdera materiaï,
Famiger & Consentis, callens omnia quæ sunt,
Antideaque fuere, & mox ventura trahentur.
Nam natura prior Majo omnia commendavit.
Quare ó nobis auguriis veracibus adsis,
Dans placidam vitæ finem felicis habere.

TELLURIS *suffimen, omne semen, præter fabas & aromata.*

TELLUS Ops, mater Divorum & mater homonum,
Altrix, percoquifrux, intercidonea, larga,
Conflua atque adolescens, polcris frugibus augens;
Æterni mundi fundamen dædala virgo,
Quæ varias edis fruges maturrima partu:
Anna, paranna, augusta, empanda, opulenta, beata.
Suavifero exultans gemmanti gramine Dia,
Imbriprocax, circa quam signitenentia castra,
Et cœlum æternis vicibus torrentibu' fertur.
Diva parens auge terræ viridantia fœta,
Clara, favente animo, cum Temperiabus opimis.

ΜΗΤΡΟΣ ΘΕΩΝ θυμίαμα, ποικίλα.

ἈΘΑΝΑΤΩΝ θεότιμε θεῶν μῆτερ τροφὲ πάντων,
Τῇδε μόλοις κράντειρα θεά, σέο πότνι' ἐπ' εὐχαῖς,
Ταυροφόνων ζεύξασα ταχύδρομον ἅρμα λεόντων,
Σκηπτοῦχε κλεινοῖο πόλου, πολυώνυμε, σεμνή·
Ἣ κατέχεις κόσμοιο μέσον θρόνον, οὕνεκεν αὐτὴ
Γαῖαν ἔχεις, θνητοῖσι τροφὰς παρέχουσα προσηνεῖς.
Ἐκ σέο δ' ἀθανάτων τε γένος θνητῶν τ' ἐλοχεύθη·
Σοὶ ποταμοὶ κρατέονται ἀεὶ καὶ πᾶσα θάλασσα.
Ἱστία αὐδάχθης. σὲ δ' ὀλβοδότιν καλέουσι,
Παντοίων ἀγαθῶν θνητοῖς ὅτι δῶρα χαρίζῃ.
Ἔρχεο πρὸς τελετὴν ὦ πότνια, τυμπανοτέρπη,
Πανδαμάτωρ, Φρυγίης σώτειρα, Κρόνου συνόμευνε,
Οὐρανόπαι, πρέσβειρα, βιοθρέπτειρα, φίλοιστρε·
Ἔρχεο γηθόσυνος, κεχαρισμένη εὐσεβίῃσιν.

ἙΡΜΟΥ θυμίαμα, λίβανον.

ΚΛΥ͂ΘΊ μου Ἑρμεία Διὸς ἄγγελε, Μαιάδος υἱὲ,
Παγκρατὲς ἦτορ ἔχων, ἐναγώνιε, κοίρανε θνητῶν,
Εὔφρων, ποικιλόβουλε, διάκτορε, ἀργειφόντα,
Πτηνοπέδιλε, φίλανδρε, λόγου θνητοῖσι προφῆτα.
Γυμνάσιν ὃς χαίρεις, δολίαις τ' ἀπάταις, τροφιοῦχε.
Ἑρμηνεῦ πάντων, κερδέμπορε, λυσιμέριμνε.
Ὃς χείρεσσιν ἔχεις εἰρήνης ὅπλον ἀμεμφές.
Κωρυκιῶτα, μάκαρ, ἐριούνιε, ποικιλόμυθε,
Ἐργασίαις ἐπαρωγὲ, φίλε θνητοῖς ἐν ἀνάγκαις·
Γλώσσης δεινὸν ὅπλον, τὸ σεβάσμιον ἀνθρώποισι·
Κλῦθί μου εὐχομένου, βιότου τέλος ἐσθλὸν ὀπάζων,
Ἐργασίαισι, λόγου χάρισιν, καὶ μνημοσύνῃσιν.

Ὕμνος

MATRIS DEUM *suffimen, varia.*

MATER *cunctorum augustissima Cæligenarum,*
Huc sis Maja Dea, confer ted ad tua sacra,
Taurivomos jungens citimos ad carra Leones.
Æterni regina covi, celeberrima, honora:
Quæ media mundi stas fornice, quod bona terram
Ipsa tenes, homines lactans Dea cicure pastu.
Ex te Cæligenarum, ex te mortalium origo est,
Et liquens natura tibi fluit, & maris humor.
Vestam te vocitant, atque Assidua indigitaris,
Quod duis humanis polcralia adorea multa.
Vise tuos castus, ó candida tumpanicultrix,
Victrix, sospe' Phrugum, Saturni maxima conjux,
Mœsia, Cœligena, nutrix, fanatica Dia:
Læta adsis gratans festis rata cultibus signa.

MERCURII *suffimen, tus.*

MAJAI *stirps alma Jovisque, accense, viator,*
Magnanimum cor habens, quinquertio, censor homonû,
Vinule, Multivole, internuntius, Argilethe,
Alipes, & mortalium amor, sermoni' minister:
Quem fraus, quem certamina adulant, almifer omnium.
Interpres variæ linguai, Nundine Liber,
Sanguineum gestans caduceum pacis amice
Frugi, Coruciota, Locuteje, Aje, beate,
Atque operum Titule, & Titane necessibu' rebus;
Et mortalibu' præsidium venerabile linguæ;
Adsis oranti vitæ addens exitum amicum,
Cultu operum, memori menti, sermonibu' lectis.

Ὕμνος ΠΕΡΣΕΦΟΝΗΣ.

ΠΕΡΣΕΦΟΝΗ, θύγατερ μεγάλου Διὸς, ἐλθὲ μάκαιρα,
Μουνογένεια θεὰ, κεχαρισμένα δ' ἱερὰ δέξαι·
Πλούτωνος πολύτιμε δάμαρ, κεδνὴ, βιοδῶτι.
Ἣ κατέχεις ἀΐδαο πύλας ὑπὸ κεύθεα γαίης,
Πραξιδίκη, ἐρατοπλόκαμε, Διὸς θάλος ἁγνὸν,
Εὐμενίδων γενέτειρα, ὑποχθονίων βασίλεια·
Ἣν Ζεὺς ἀρρήτοισι γοναῖς τεκνώσατο κούρην.
Μῆτερ ἐριβρεμέτου πολυμόρφου Εὐβουλῆος,
Ὡρῶν συμπλέκτειρα, φαεσφόρε, ἀγλαόμορφε·
Σεμνὴ παντοκράτειρα κόρη, καρποῖσι βρύουσα,
Εὐφεγγὴς, κερόεσσα, μονὴ θνητοῖσι ποθεινὴ,
Εἰαρινὴ, λειμωνιάσιν χαίρουσα πνοιῇσι,
Ἱερὸν ἐκφαίνουσα δέμας βλαστοῖς χλοοκάρποις,
Ἁρπαγιμαῖα λέχη μετοπωρινὰ νυμφευθεῖσα·
Ζωὴ καὶ θάνατος μούνη θνητοῖς πολυμόχθοις,
Φερσεφόνεια· φέρεις γὰρ ἀεὶ καὶ πάντα φονεύεις.
Κλῦθι μάκαιρα θεὰ, καρποὺς δ' ἀνάπεμπ' ἀπὸ γαίης
Εἰρήνῃ θάλλουσα καὶ ἠπιόχειρ' ὑγιείᾳ,
Καὶ βίῳ εὐόλβῳ, λιπαρὸν γῆρας κατάγοντι
Πρὸς σὸν χῶρον ἄνασσα καὶ εὐδυνάτον Πλούτωνα.

ΔΙΟΝΥΣΟΥ θυμίαμα, στύρακα.

ΚΙΚΛΗΣΚΩ Διόνυσον, ἐρίβρομον εὐαστῆρα,
Πρωτογόνον, διφυῆ, τρίγονον, Βακχεῖον ἄνακτα,
Ἄγριον, ἄρρητον, κρύφιον, δικέρωτα, δίμορφον,
Κισσόβρυον ταυρωπὸν, ἀρήϊον, εὔϊον, ἁγνὸν,
Ὠμάδιον, τριετῆ, βοτρυφόρον, ἐρνεσίπεπλον.
Εὔβουλ', εὐπολύβουλε, Διὸς καὶ Περσεφονείης

Ἀρρήτοις

Carmen LIBERÆ PROSERPINE.

LIBERA *magnanimi Jovis adsis incluta proles,*
Unigena princeps, esto hoc libamine macta:
Conjux Ditis honora, boni largissima victi:
Quæ sub visceribus terræ dominaris Averno,
Parica, & cincinna, Jovisque insigne propagmen;
Manarum genitrix, Jovis infernati' tribuna.
Quam pusam arcano Jovi' semine progeneravit.
Mater multicrepi Volturni maxima Consi,
Lucina speciosa, & percoqua Temperierum,
Seria, regnatrix Larunda, frugibu' gliscens,
Corniger, illustris, mortalibu' grata virago,
Flora, gramineæ quam oblectat spiritus auræ,
Corpu' tuum oblectans Terræ viridantibu' fœtis,
Nummeria & fœta, Autumni sub tempore nubens,
Vita, itidem mors sola eadem mortalibus ægris,
Fordicida, etenim fers omnia, & omnia cædis,
Huc hera sis, fruges è terra funditus educ:
Blanda pace vigens, illibataque salute,
Et vita fausta mitem legante salutem,
Ad tua templa Dea, & potis indufera atria Ditis.

LIRERI PATRIS, *sturaca.*

LIBERUM *ego veneror, crepericreperum fatuantem,*
Primigenam, geminum, Brumalem, terque renatum,
Cornigerum, agrestem, obscurum, arcanum, duiformem,
Cinctum ederis, taurifrontem, Mamertium amœnum.
Bajule, trime parter: vestifrondem, vuigerentem.
Consentis, Consul Jovis, & Proserpinæ opacæ,

Ἀῤῥήτοις λέκτροισι τεκνωθεὶς, ἄμβροτε δαῖμον·
Κλῦθι μάκαρ φωνῆς, ἡδὺς δ' ἐπίνισσον ἐνηής,
Εὐμενὲς ἦτορ ἔχων, σὺν εὐζώνοισι Ἀθήναις.

Ὕμνος ΚΟΥΡΗ'ΤΩΝ.

ΣΚΙΡΤΗΤΑΙ' Κουρῆτες, ἐνόπλια βήματα θέντες,
Ποσσίκροτοι, ῥομβηταὶ, ὀρέστεροι, εὐασῆρες,
Κρουσιλύραι, παράρυθμοι, ἐπεμβάται ἴχνεσι κούφοις,
Ὁπλοφόροι, φύλακες, κοσμήτορες, ἀγλαόφημοι,
Μητρὸς ὀρειομανοῦς συνοπάονες, ὀργιοφάνται,
Ἔλθοιτ' εὐμενέοντες ἐπ' εὐφήμοισι λόγοισι,
Βουκόλῳ εὐάντητοι ἀεὶ κεχαρηότι θυμῷ.

Ὕμνος ἈΘΗΝΑ͂Σ.

ΠΑΛΛΑ'Σ μουνογενὲς, μεγάλου Διὸς ἔκγονε σεμνὴ,
Δῖα μάκαιρα θεὰ, πολεμοκλόνε, ὀβριμόθυμε,
Ἄῤῥητ', αὖ ῥητὴ, μεγαλώνυμε, ἀντροδίαιτε·
Ἣ διάγεις ὄχθους ὑψαύχενας ἀκρωρείους,
Ἠδ' ὄρεα σκιόεντα, νάπησί τε σὴν φρένα τέρπεις.
Ὁπλοχαρὲς, οἰστρῶσα βροτῶν ψυχὰς μανίαισι·
Γυμνάζουσα κόρη, φρικώδη θυμὸν ἔχουσα.
Γοργοφόνε, φυγόλεκτε, τεχνῶν μῆτερ πολύολβε.
Ὁρμάστειρα· φίλοιστρε κακοῖς, ἀγαθοῖς δὲ φρόνησις.
Ἄρσην μὲν καὶ θῆλυς ἔφυς, πολεμάτοκε μῆτι.
Αἰολόμορφε δράκαινα, φιλένθεε, ἀγλαότιμε·
Φλεγραίων ὀλέτειρα, γιγάντων ἱππελάτειρα.
Τριτογένεια, λύτειρα κακῶν, νικηφόρε δαῖμον.
Ἤματα καὶ νύκτας αἰεὶ νεάτησιν ἐν ὥραις,
Κλῦθί μου εὐχομένου, δός δ' εἰρήνην πολύολβον.
Καὶ κόρον ἠδ' ὑγίειαν ἐπ' εὐόλβοισιν ἐν ὥραις,

Γλαυ-

Editus arcano nixu purissime Die :
Annue suppliciis, & blando numine sponde,
Mitem animum spirans, cinctutis proximus assis.

Carmen SALIORUM.

AMBURUATORES, *vestigia ahena prementes;*
Collini Salii, Salisubsuli, & fatuantes,
Pulsifides, & talipedi, leve persultantes,
Armigeri, vigilesque, magistrique ominifausti,
Matri' Jugatinæ latrones atque Camilli,
Augusti ad sermonis adeste faventiam amicam,
Et semper placata occurrite mente bubulco.

Carmen MINERVÆ CAPTÆ.

MAGNANIMI *Jovis unigena stirps, Dia Minerva,*
Dia beata, ferox, bellicrepa, Neriene,
Dicta indicta, itidem celeberrima, & antricolona;
Concelebrans ruptas scruposa palatia cautes,
Deliciasque tuas, viridaria montium opaca,
Armipotens, furiis figens mortalia corda:
Torvo animorum exercitio Bellona virago.
Artiparens, tedarum expers, Gorgonitrucida.
Tu Furia infandûm, sapientia sola bonorum,
Mas & femina Belliparens, indostrua tota,
Vortumna, atque excetra ferox, fanatica, honesta,
Ultrix Titani, Phlegrensis, equiria, volgi.
Capta, malæ noxæ Averrunca, Feretria virgo,
Jam lucu, noctu, supremo in tempore quoque
Annue adoranti, & pacem largire beatam,
Temporibus faustis, satiatemque atque salutem,

Γλαυκῶφ', εὑρεσίτεχνε, πολύλλιστη βασίλεια.

32 ΝΙΚΗΣ θυμίαμα, μάνναν.

Ε͗ΥΔΥΝΑΤΟΝ καλέω Νίκην, θνητοῖσι ποθεινήν,
Ἣ μούνη λύει θνητῶν ἐναγώνιον ὁρμήν,
Καὶ στάσιν ἀλγινόεσσαν, ἐπ' ἀντιπάλοισι μάχαισιν,
Ἐν πολέμοις κρίνουσα, τροπαιούχοισιν ἐπ' ἔργοις,
Οἷς ἂν ἐφορμαίνουσα φέροις γλυκερώτατον εὖχος.
Πάντων γὰρ κρατέεις· πάσης δ' ἔριδος κλέος ἐσθλὸν,
Νίκη ἐπ' εὐδόξῳ κεῖται, θαλίαισι βρυάζων.
Ἀλλὰ μάκαιρ' ἔλθοις πεποθημένῳ ὄμματι φαιδρῷ,
Αἰεὶ ἐπ' εὐδόξοις κλέος ἔργοις ἐσθλὸν ἄγουσα.

33 ἈΠΟΛΛΩΝΟΣ θυμίαμα, μάνναν.

ἘΛΘΕ μάκαρ Παιὰν τιτυοκτόνε Φοῖβε Λυκωρεῦ,
Μεμφῖτ' ἀγλαότιμε, ἰήιε, ὀλβιοδῶτα·
Χρυσολύρη, σπέρμιε, ἀρότριε, πύθιε, τιτὰν,
Γρύνιε, καὶ Σμινθεῦ, πυθοκτόνε, δελφικὲ μάντι,
Ἄγριε, φωσφόρε, δαῖμον, ἐράσμιε, κύδιμε κοῦρε·
Μουσαγέτα, χοροποιὲ, ἑκηβόλε, τοξοβέλεμνε,
Βάκχιε καὶ διδυμεῦ, ἑκάεργε, λοξία, ἁγνέ.
Δήλι' ἄναξ, πανδερκὲς ἔχων φαεσίμβροτον ὄμμα,
Χρυσοκόμα, καθαρὰς φήμας χρησμούς τ' ἀναφαίνων·
Κλῦθι μου εὐχομένου λαῶν ὕπερ εὔφρονι θυμῷ.
Τόνδε σὺ γὰρ λεύσσεις τὸν ἀπείριτον αἰθέρα πάντα,
Γαῖαν τ' ὀλβιόμοιρον, ὕπερθέ τε καὶ δι' ἀμολγοῦ,
Νυκτὸς ἐν ἡσυχίαισιν, ὑπ' ἀστεροόμματον ὄρφνην.
Ῥίζας νέρθε δέδωκας, ἔχεις δέ τε πείρατα κόσμου
Παντός· σοὶ δ' ἀρχή τε τελευτή τ' ἐστὶ μέλουσα,
Παντοθαλής· σὺ δὲ πάντα πόλον κιθάρῃ πολυκρέκτῳ

Ἁρμό-

+ Lege δεδορκας

Cæsia, & artiparens, multum votita Camilla.

DIVÆ VICTORIÆ, *suffimen, manna.*

OBSECRO *te Victoria pos, gratissima rerum,*
Endo procinctu cernentia quæ agmina ferro
Et rixam luis alterutris ex partibu' pugnæ,
In bello cernens, ut quis palmarium adeptus,
Quis tu cumque favens præstas dulcissima vota.
Omnia nam moderare, & grandis adorea belli
Tota ex te pendet, lætis vitulantibus augens.
Quare huc sis venias, cupienti Dia Dearum,
Semper præclaro jungens operi agmina laudum.

APOLLINI *suffimen, manna.*

FEBRUE *te Juturne precor, Tituicida, Luperce,*
O Memphita, verende, salutifer, altor honorum,
O fidicen, Consive parens, Titane, Segeste,
Soriculate pater, Vaticane, excetricida,
Lucifer, agrestis, rex mustule, nobili' pubes,
Præsul, Casmœnisque sagittifer, arcitenensque,
Brume pater, collimatorque, obstite, gemelle,
Delie rex, qui illustrem aciem huc partir is & illuc.
Auricome, integra præcepta atque oracula fatans:
Pro populo orantem me cœlitu' vise parumper:
Nam sursum aspicis immoderata hæc æquora cæli,
Et supera terras & noctem subter opacam,
Nocte silente, sub umbræ signitenentibu' flammis.
Radices statuisti infra: tibique extima mundi
Et tibi principium, tibi solvitur exitus omnis:
Omni virens, fidibus tu cœlica templa canoris

Ἁρμόζεις, ὅτε μὲν νεάτης ἐπὶ τέρματα βαίνων,
Ἄλλοτε δ' αὖθ' ὑπάτην, ποτὲ δώριον εἰς διάκοσμον.
Πάντα πόλον κρίνας, κρίνεις βιοθρέμμονα φῦλα,
Ἁρμονίῃ κεράσας παγκόσμιον ἀνδράσι μοῖραν.
Μίξας χειμῶνος θέρεός τ' ἴσον ἀμφοτέροισιν,
Εἰς ὑπάτας χειμῶνα, θέρος νεάταις διακρίνας,
Δώριον εἰς ἔαρος πολυηράτου ὥριον ἄνθος.
Ἔνθεν ἐπωνυμίαις σε βροτοὶ κλήζουσιν ἄνακτα
Πᾶνα, θεὸν δικέρωτ', ἀνέμων συρίγμαθ' ἱέντα.
Οὕνεκα παντὸς ἔχεις κόσμου σφραγῖδα τυπῶτιν.
Κλῦθι μάκαρ, σώζων μύστας ἱκετηΐδι φωνῇ.

ΛΗΤΟΥ͂Σ θυμίαμα, σμύρναν.

ΛΗΤΩ͂ κυανόπεπλε, θεὰ διδυματόκε, σεμνή,
Κοιαντὶς μεγάθυμε, πολυλλίστη βασίλεια,
Εὔτεκνον Ζηνὸς γονίμην ὠδῖνα λαχοῦσα·
Γειναμένη Φοῖβόν τε καὶ Ἄρτεμιν ἰοχέαιραν,
Τὴν μὲν ἐν Ὀρτυγίῃ, τὸν δὲ κραναῇ ἐνὶ Δήλῳ·
Κλῦθι θεὰ δέσποινα, καὶ ἵλαον ἦτορ ἔχουσα
Βαῖν' ἐπὶ πάνθειον τελετὴν, τέλος ἡδὺ φέρουσα.

ἈΡΤΕΜΙΔΟΣ θυμίαμα, μάνναν.

ΚΛΥ͂ΘΙ μου ὦ βασίλεια, Διὸς πολυώνυμε κούρη,
Τιτανὶς, βρομία, μεγαλώνυμε, τοξότι σεμνή,
Πασιφαὴς, δᾳδοῦχε, θεὰ δίκτυννα, λοχεία,
Ὠδίνων ἐπαρωγὲ καὶ ὠδίνων ἀμύητε·
Λυσίζωνε, φίλοιστρε, κυνηγέτι, λυσιμέριμνε,
Εὔδρομε, ἰοχέαιρα, φιλαγρέτι, νυκτερόφοιτε,
Κλεισία, εὐάντητε, λυτηρία, ἀρσενόμορφε,
Ὀρθία, ὠκυλόχεια, βροτῶν κουροτρόφε δαῖμον,

Ἀμ-

Permoderaris ad imæ nunc confinia ſedis,
Nunc ad primam iterum, nunc ad modulamina Dorii,
Cœlum omnem varians, varias animantia ſecla,
Temperiis hominum moderans, æqualia fata,
Tantundem miſcens hiemisque atque æſtuis iiſdem,
Diſcernens primis hiemem, inferioribus æſtus,
At veris grati ſpeciem modulamine Dorii.
Unde homines ted indigitant cognomine vero
Faunum cornigerum, ventorum ſibila hiantem:
Quod magni omnis habes ſignacula dædala mundi,
Huc adeas here flaminibus pro ſupplice voto.

LATONÆ *ſuffimen, murra.*

O Latona gemellipara, trabeata, verenda,
Nerio Cœantis, multum votita, modiſque
Morigeris, Jovio partu diteſcere dulci
Promerita es, Februum Janamque ſagittipotentem
Progenerans. hunc in Delo, eam in Ortygia alta.
Ergo huc adventes præſenti numine Dia,
Huc ades, & ſacro ſis felix pandiculari.

DEIANÆ *ſuffimen, manna.*

HUc, huc ô rigina, Jovis celeberrima virgo,
Libera, famigera, Titana, ſagittipotensque,
Venatrix, Lucina parens, manifeſta, parunda,
Partubus adiutrix maturis, partubus expers,
Cinxia, curifugax, ceritaque, vertagiduca,
Noctuvolga Dea, arcitenens, venatica, pernix,
Verrunca, & Beneventa, Calendaque, maſculiformis,
Porrima, nummenia atque hominum ſanctiſſima nutrix,

Ἀμβροτέρα, χθονία, θηροκτόνε, ὀλβιόμοιρε·
Ἣ κατέχεις ὀρέων δρυμοὺς, ἐλαφηβόλε σεμνή.
Πότνα, παμβασίλεια, καλὸν θάλος αἰὲν ἔχουσα·
Δρυμονία, σκυλακῖτι, κυδωνιὰς, αἰολόμορφε.
Ἐλθὲ θεὰ σώτειρα, φίλη μύστῃσιν ἅπασιν,
Εὐάντητος, ἄγουσα καλοὺς καρποὺς ἀπὸ γαίης,
Εἰρήνην τ' ἐρατὴν, καλλιπλόκαμόν θ' ὑγίειαν·
Πέμποις δ' εἰς ὀρέων κεφαλὰς νόσους τε καὶ ἄλγη.

36 ΤΙΤΑ΄ΝΩΝ θυμίαμα, λίβανον.

ΤΙΤΗ͂ΝΕΣ, γαίης τε καὶ οὐρανοῦ ἀγλαὰ τέκνα,
Ἡμετέρων πρόγονοι πατέρων, γαίης ὑπένερθεν
Οἴκοις ταρταρέοισι μυχῷ χθονὸς ἐνναίοντες,
Ἀρχαὶ καὶ πηγαὶ πάντων θνητῶν πολυμόχθων,
Εἰναλίων πτηνῶν τε καὶ οἳ χθόνα ναιετάουσιν·
Ἐξ ὑμέων γὰρ πᾶσα πέλει γενεὰ κατὰ κόσμον.
Ὑμᾶς κικλήσκω μῆνιν χαλεπὴν ἀποπέμπειν,
Εἴ τις ἀπὸ χθονίων προγόνων οἴκοις ἐπελάσθη.

37 ΚΟΥΡΗ΄ΤΩΝ θυμίαμα, λίβανον.

ΧΑΛΚΟ΄ΚΡΟΤΟΙ Κουρῆτες Ἀρήϊα τεύχε' ἔχοντες,
Οὐράνιοι χθόνιοί τε καὶ εἰνάλιοι, πολύολβοι,
Ζωογόνοι πνοιαὶ, κόσμου σωτῆρες ἀγαυοὶ,
Οἵ τε Σαμοθρᾴκην ἱερὴν χθόνα ναιετάοντες,
Κινδύνους θνητῶν ἀπερύκετε ποντοπλανήτων·
Ὑμεῖς καὶ τελετὴν πρῶτοι μερόπεσσιν ἔθεσθε
Ἀθάνατοι Κουρῆτες Ἀρήϊα τεύχε' ἔχοντες·
Νωμᾶτ' Ὠκεανὸν, νωμᾶθ' ἅλα, δένδρεά θ' αὔτως.
Ἐρχόμενοι γῆαν κοναβίζετε ποσσὶν ἐλαφροῖς,
Μαρμαίροντες ὅπλοις· πτήσσουσι δὲ θῆρες ἅπαντες

Ὁρμών-

Summana, agrestis, fericida, beata, locuples,
Quæ lucos habitas, castissima, cervitrucida,
Regina augusta, & viridi spectabilis ævo,
Cudonis, Vortumna, Canaria, fagutalis,
Huc venias huc Diva, tuis & sospita & alma
Præstitibus ducens terraï pignora adulta:
Donaque pacis amœnæ, polcricomamque salutem:
Inque altos montes protela funera, morbos.

TITANORUM *suffimen, tus.*

TITANI *terræ & cœli illustrissima stirpes,*
Nostrorum proavi patrum, intra Tartara regna,
Ædibus horrificis terræ intestina colentes,
Principium & semen cunctis animantibus ægris,
Aëris & maris & terraï frugiferaï:
Ex vobis siquidem generatim est omni' propago.
Vos veneror, iras averruncassere iniquas,
Si quis ab indufero nostra incubat æde Senatu.

SALIORUM *suffimen, tus.*

ÆRICREPI *Salii, ancilia Martis habentes,*
Aëris, & terræ, & maris indigetes opulenti,
Terrarum tituli, genitalia semina mundi,
Quique Samothracen habitacula sacra colentes,
Casibus eximitis per cærula velificantes:
Vos primi sacrum mortalibus instituistis,
Æterni Salii ancilia Martis habentes:
Oceanum quatitis, quatitis mare, roboraque alta.
Terræ insultantes pedibus strepitis, rutilantes
Gestibus arma: tremunt animantia secla ferarum,

Et

Ὁρμώντων, θόρυβος δὲ βοή τ' εἰς οὐρανὸν ἥκει,
Εἱλιγμοῖς τε ποδῶν κονίη νεφέλην ἀφικάνει
Ἐρχομένων· τότε δή ῥα καὶ ἄνθεα πάντα τέθηλεν.
Δαίμονες ἀθάνατοι, τροφέες καὶ αὐτολετῆρες,
Ἡνίκ' ἂν ὁρμαίνωνται χολούμενοι ἀνθρώποισιν,
Ὀλλύντες βίον καὶ κτήματα, ἠδὲ καὶ αὐτοὺς
Πιμπλάντες· στοναχεῖ δὲ μέγας πόντος βαθυδίνης,
Δένδρη δ' ὑψικάρην' ἐκ ῥιζῶν ἐς χθόνα πίπτει.
Ἠχὼ δ' οὐρανία κελαδεῖ ῥοιζήμασι φύλλων.
Κουρῆτες Κορύβαντες, ἀνάκτορες εὐδυνατοί τε,
Ἐν Σαμοθρᾴκῃ ἄνακτες, ὁμοῦ Ζηνὸς κόροι αὐτοί·
Πνοιαὶ ἀέναοι, ψυχοτρόφοι, ἀεροειδεῖς·
Οἵτε καὶ οὐράνιοι δίδυμοι κλήζεσθ' ἐν ὀλύμπῳ·
Εὔπνοοι, εὔδιοι, σωτήριοι, ἠδὲ προσηνεῖς,
Ὡροτρόφοι, φερέκαρποι, ἐπίπνοιοί τε ἄνακτες.

ΚΟΡΥΒΑΝΤΟΣ θυμίαμα, λίβανον.

ΚΙΚΛΗΣΚΩ χθονὸς ἀενάου βασιλῆα μέγιστον,
Κύρβαντ' ὀλβιόμοιρον, Ἀρήιον, ἀπροσόρατον,
Νυκτερινὸν κούρητα, φόβων ἀποπαύστορα δεινῶν,
Φαντασιῶν ἐπαρωγὸν, ἐρημοπλάναν κορύβαντα.
Αἰολόμορφον ἄνακτα, θεὸν διφυῆ, πολύμορφον,
Φοίνιον, αἱμαχθέντα κασιγνήτων ὑπὸ δισσῶν·
Δηοῦς ὃς γνώμαισιν ἐνήλλαξας δέμας ἁγνὸν,
Θηροτύπου θέμενος μορφὴν δνοφεροῖο δράκοντος.
Κλῦθι μάκαρ φωνῶν, χαλεπὴν δ' ἀποπέμπεο μῆνιν,
Παύων φαντασίας ψυχὰς ἐκ πήκτου ἀνάγκης.

Et fragor & fremitus pervolgat cærula cœli.
Et glomerante pedum ſonitu ſtant pulvere nubes,
Et florum ſpecies viridantum verna pateſcit.
Æterni genii, atque Joves & Væjove' quando
Torva inimiciter occurrunt mortalibus ira,
Vaſtantes victumque & opes, ipſoſque nocentes,
Inde loci magno crebreſcunt murmura ponto,
Stirpitus & quercus procumbunt æquore campi,
Parmarum flictu cæleſti' reſultat imago.
O Salii, atque potes Saliſubſuli, induperantes,
Indigetes, Samothracii, & incluta Diiovi' proles:
Æterni flatus, animales, aëriformes,
Quique etiam gemini per cæli templa cluetis,
Spirantes, ſudi, miteſque ſalutiferique,
Temperii, Autumni, Divi, medioxumi, anheli.

DIVI INVI LUCUMONIS
ſuffimen, tus.

INDUPERATOREM *magnum telluris adoro,*
Inviſumque Inuum, felicemque, atque Quirinum,
Nocturnum Lucumonem, obicem larvatilis umbræ.
Terriculi auxilium: deſertaque concelebrantem.
Incubum, item geminum Volturnum, multivolumque,
Sanguineum, atque utriusque cruentum vulnere fratris:
Numine qui Cereris mutaſti corpus amœnum,
Terrificæ excetræ inſinuans ſerpentia membra,
Vota lubens audi, creperoſque averte timores,
Siſtens obſcœnas ſpecies crucias animorum.

CERE-

ΔΗΜΗΤΡΟΣ ἘΛΕΥΣΙΝΙΑΣ θυμίαμα, στύρακα.

ΔΗΩ' παμμήτειρα, θεοῖς πολυώνυμε δαῖμον,
Σεμνὴ Δήμητερ, κουροτρόφε, ὀλβιοδῶτι,
Πλουτοδότειρα θεὰ, σταχυοτρόφε, παντοδότειρα.
Εἰρήνῃ χαίρουσα καὶ ἐργασίαις πολυμόχθοις,
Σπερμία, σωρῖτι, ἀλωαία, χλοόκαρπε,
Ἣ ναίεις ἁγνοῖσιν Ἐλευσῖνος γυάλοισιν.
Ἱμερόεσσ', ἐρατὴ, θνητῶν θρέπτειρα προπάντων.
Ἣ πρώτη ζεύξασα βοῶν ἀροτῆρα τένοντα,
Καὶ βίον ἱμερόεντα βροτοῖς πολύολβον ἀνεῖσα·
Αὐξιθαλὴς, Βρομίοισι συνέστιος, ἀγλαότιμος.
Λαμπαδόεσσ', ἁγνὴ, δρεπάνοις χαίρουσα θερείοις·
Σὺ χθονία, σὺ δὲ φαινομένη, σὺ δὲ πᾶσι προσηνής·
Εὔτεκνε, παιδοφίλη, σεμνὴ κουροτρόφε κούρα,
Ἅρμα δρακοντείοισιν ὑποζεύξασα χαλινοῖς,
Ἐγκυκλίοις δίναις περὶ σὸν θρόνον εὐάζουσα.
Μουνογενὴς, πολύτεκνε θεὰ, πολυπότνια θνητοῖς,
Ἧς πολλαὶ μορφαὶ πολυάνθεμοι ἱεροθαλεῖς,
Ἐλθὲ μάκαιρ' ἁγνὴ, καρποῖς βρίθουσα θερείοις.
Εἰρήνην κατάγουσα καὶ εὐνομίην ἐρατεινὴν,
Καὶ πλοῦτον πολύολβον, ὁμοῦ δ' ὑγίειαν ἄνασσαν.

ΜΗΤΡΟΣ ἈΝΤΑΙΑΣ θυμίαμα, ἀρώματα.

ἈΝΤΑΙΑ βασίλεια, θεὰ, πολυώνυμε μῆτερ.
Ἀθανάτων τε θεῶν ἠδὲ θνητῶν ἀνθρώπων,
Ἥ ποτε μαστεύουσα πολυπλάγκτῳ ἐν ἀνίῃ,
Νηστείαν κατέπαυσας Ἐλευσῖνος γυάλοισιν,
Ἦλθές τ' εἰς ἀΐδην πρὸς ἀγαυὴν Περσεφόνειαν,

Δύσα-

CERERIS MATRIS ELEUSINIENSIS *ſuffimen, ſturaca.*

ALMA Ceres mater Divûm, celeberrima Dia,
Rumia, ſancta Pales, copiis largiſſima victi,
Omnia dans, fruges, & opes, Pomona, Segeſta,
Tantum concelebrans pacem, agricolasque labores:
Semona, Accumula, tritutrix, frugiparensque,
Quæ auguſtæ ſacraria Eleuſinis dominaris.
O jucunda, benigna, hominum placidiſſima nutrix,
Quæ prior agricolas junxſti ſub plauſtra triones,
Illecebris mitem edulcans mortalibu' victum:
Ævi adoleſcens, Brumorumque ſodalis, honora
Lucia, tædigerens, meſſorum falcibu' gaudens.
Tellumo tu, tuque illuſtris, tuque omnibu' ridens,
Proletaria, amans natæ, Dea Rumia nutrix,
Quæ bijuges auriga jugans ad frena colubras,
Amfractu circaneo ovas tua am ſola ſancta.
Unigena, & forda, atque hominum auguſtiſſima cura,
Quoi ſunt omnigena & quoi frugiparentia volta.
Ergo huc ſpicigerente graveſcens munere adeſdum,
Adducens pacem & legum concordia jura,
Fertileque uber opum, & pollentia dona ſalutis.

EMPANDÆ MATRIS *ſuffimen, aromata.*

OMNIPOTENS Empandaparens, celeberrima Dia,
Mater Cœligenûmque Deûm, & mortalium homonum,
Quæ olim errans deſiderio perfixa nitenti
Solata es in Eleuſinis jejunia valle,
Furva obiens Proſerpinæ omnipotentis Averna;

Ipſa

Δύσαγνος πῦδ' ἁγνὸν ὁδηγητῆρα λαχοῦσα,
Μηνυτῆρ' ἁγίων λέκτρων χθονίου Διὸς ἁγνοῦ,
Εὔβουλον τέξασα θεὸν θνητῆς ἀπ' ἀνάγκης.
Ἀλλὰ θεὰ λίτομαί σε πολυλλίστη βασίλεια
Ἐλθεῖν εὐάντητον ἐπ' εὐιέρῳ σέο μύστῃ.

ΜΙ'ΣΗΣ θυμίαμα, στύρακα.

ΘΕΣΜΟΦΟ'ΡΟΝ καλέω ναρθηκοφόρον Διόνυσον,
Σπέρμα πολύμνηστον πολυώνυμον Εὐβουλῆος
Ἁγνὴν εὐϊερόν τε Μίσην ἄρρητον ἄνασσαν,
Ἄρρενα καὶ θῆλυν, διφυῆ λύσειον Ἴακχον.
Εἴτ' ἐν Ἐλευσῖνος τέρπῃ νηῷ θυόεντι,
Εἴτε καὶ ἐν Φρυγίῃ σὺν μητέρι μυστιπολεύεις,
Ἢ Κύπρῳ τέρπῃ σὺν ἐϋστεφάνῳ Κυθερείῃ,
Ἢ καὶ πυροφόροις πεδίοις ἐπαγάλλεαι ἁγνοῖς,
Σὺν σῇ μητρὶ θεᾷ μελανηφόρῳ Ἴσιδι σεμνῇ,
Αἰγύπτου παρὰ χεῦμα, σὺν ἀμφιπόλοισι τιθήναις·
Εὐμενέουσ' ἔλθοις ἀγαθοῖς τελέουσ' ἐπ' ἀέθλοις.

ὩΡΩ͂Ν θυμίαμα, ἀρώματα.

ὩΡΑΙ θυγατέρες Θέμιδος καὶ Ζηνὸς ἄνακτος,
Εὐνομίη τε Δίκη τε καὶ Εἰρήνη πολύολβε,
Εἰαριναί, λειμωνιάδες, πολυάνθεμοι, ἁγναί,
Παντόχροοι, πολύοδμοι ἐν ἀνθεμοειδέσι πνοιαῖς,
Ὧραι ἀειθαλέες, περικυκλάδες, ἡδυπρόσωποι·
Πέπλους ἐννύμεναι δροσεροὺς ἀνθῶν πολυθρέπτων,
Περσεφόνης συμπαίκτορες, ἡνίκα μοῖραι ταύτην
Καὶ Χάριτες κυκλίοισι χοροῖς πρὸς φῶς ἀνάγωσι.
Ζηνὶ χαριζόμεναι καὶ μητέρι καρποδοτείρῃ,

Ipsa ducem offendens purum non pura puellum,
Narrantem inferni connubia Dii ovi' sancti.
Quæ Consum paris icta humani volnere amoris.
Te multum votita precor sanctissima mater,
Huc tuo adventare faventem dia Camillo.

AMBIGUÆ BIGENERIS *suffimen, sturaca.*

ACCINCTUM *ferula te legifer incalo Brume,*
Æternum magni numen memorabile Consi,
Pura, sacer, bigener, Regina indicta, virago,
Mas eadem, mulierque bimembris, Libera, Bruma,
Sive in Eleusinis templo lætaris odoro,
Sive etiam in Frugia cum matre arcana agi' sacra,
Sive etiam in Cupro degis cum Murtia amœna.
Vel si frugiferis persultas pabula campis,
Cornigera cum matre tua Deus Iside sancta,
Cumque assis famulabus, ad alma fluenta Melonis:
Adsis diva favens ob rerum præmia sancta.

TEMPERIARUM *suffimen, aromata.*

TEMPERIÆ, *Jovis & Juritis sancta propages,*
Aurea lex, & fas, & pax ditissima rerum,
Vernæ, gramineæ, puræque & multivirentes,
Omnicolores, suavehalantes spiritu amæno,
Temperiæ virides, vortentes, & speciosæ:
Pallas indutæ sertis pubentibus aptas,
Congerræ Proserpinæ, ubi eam solemnibu' Parcæ
Staticulis luci revocant & Gratiæ ovantes,
Dii ovis imperiis, & Matris opi consivæ;

Huc

Ἔλθετ᾽ ἐπ᾽ εὐφήμους τελετὰς ὁσίας νεομύστους,
Εὐκάρπους καιρῶν γενέσεις ἐπάγουσαι ἀμεμφῶς.

43 ΣΕΜΕΛΗΣ θυμίαμα, στύρακα.

ΚΙΚΛΗΣΚΩ κούρην Καδμηΐδα παμβασίλειαν,
Εὐειδῆ Σεμέλην ἐρατοπλόκαμον, βαθύκολπον,
Μητέρα θυρσοφόροιο Διωνύσου πολυγηθοῦς,
Ἣ μεγάλας ὠδῖνας ἐλάσατο πυρφόρῳ αὐγῇ,
Ἀθανάτοιο τεκοῦσα Διὸς βουλαῖς Κρονίοιο.
Τιμὰς τευξαμένη παρ᾽ αὐτῆς Περσεφονείης
Ἐν θνητοῖσι βροτοῖσιν ἀνὰ τριετηρίδας ὥρας,
Ἡνίκα σοῦ Βάκχου γονίμην ὠδῖνα τελῶσιν,
Εὐϊερόν τε τράπεζαν, ἰδὲ μυστήριά θ᾽ ἁγνά.
Νῦν σε θεὰ λίτομαι κούρη Καδμηῒς ἄνασσα,
Πρηΰνοον καλέων αἰεὶ μύσταισιν ὑπάρχειν.

44 Ὕμνος

ΔΙΟΝΥΣΟΥ ΒΑΣΣΑΡΕΩΣ ΤΡΙΕΤΗΡΙΚΟΥ.

ἘΛΘΕ μάκαρ Διώνυσε, πυρίσπορε, ταυρομέτωπε,
Βάσσαρε, καὶ Βακχεῦ, πολυώνυμε, παντοδυνάστα,
Ὃς ξίφεσιν χαίρεις, ἠδ᾽ αἵμασι, μαινάσι θ᾽ ἁγναῖς·
Εὐάζων κατ᾽ ὄλυμπον, ἐρίβρομε, μανικὲ Βάκχε,
Θυρσεγχὴς, βαρύμηνι· τετιμένε πᾶσι θεοῖσι
Καὶ θνητοῖσι βροτοῖσιν ὅσοι χθόνα ναιετάουσιν·
Ἐλθὲ μάκαρ σκιρτητὰ, φέρων πολὺ γῆθος ἅπασι.

45 ΛΙΚΝΙΤΟΥ θυμίαμα, μάνναν.

ΛΙΚΝΙΤΗΝ Διόνυσον ἐπ᾽ εὐχαῖς ταῖσδε κικλήσκω,
Νύσιον, ἀμφιθαλῆ, πεποθημένον, εὔφρονα Βάκχον.
Νυμφῶν ἔρνος ἐραστὸν, ἐϋστεφάνου τ᾽ Ἀφροδίτης,

Ὃς

+ vide antiquam gemmam apud Beger Spicileg. p. 48–50

Huc mites ad ſacra pia inſtaurata venite,
Ducentes fœcunda propagmina tempeſtatum.

SEMELÆ *ſuffimen, ſturaca.*

ELICIO *puſam, prognatam principe Cadmo,*
Formoſam Semelam, cincinnam, veſtifluamque,
Et matrem Brumi lætabilis, & ferulati.
Fulmine quæ ſacro fœtum exterraneum abegit,
Æternis Jovi' conſultis enixa puella:
Quam dignata gravi eſt florens Proſerpina honore,
Inter mortales trima ad comitia feſti:
Quando tui Brumi referunt genitabile germen,
Anclabram ſacram, & rerum haud arcana profunda.
Te Dea patritia obteſtor ſata principe Cadmo,
Flaminibus leni & preſenti numine adeſſe.

Carmen
BASSARII PATRIS BRUMI TRIENNALIS.

LIBER *ted oro, ſate fulmine, corniger adſis,*
Baſſare, Brume pater, celeber Deus induperator,
Quem oblectant enſes, pilenta, ſacræque miniſtræ,
In cœlo vitulans, inſane, crepicrepe Brume,
Inſtinctor furioſe, ſupremis numen honorum
Terraïque ſacræ mortalibus inducolonis:
Adſis gaudia læta ferens ſaliſubſule Die.

VELABRI PATRIS *ſuffimen, manna.*

VELABRUM *veneror votorum hoc munere patrem,*
Muſtidum, & inveſtem, florenti pectore Brumum:
Crinitæ Veneris, numenque illuſtre virarum,

Qui

Ὅς ποτ' ἀνὰ δρυμοὺς κεχορευμένα βήματα πάλλεις,
Σὺν νύμφαις, χαρίεσσιν ἐλαυνόμενος μανίῃσι.
Καὶ βουλαῖσι Διὸς πρός τ' αὐτὴν Φερσεφόνειαν
Ἀχθεὶς ἐξετράφης, φόβος ἀθανάτοισι θεοῖσιν.
Εὔφρων ἐλθὲ μάκαρ, κεχαρισμένα δ' ἱερὰ δέξαι.

ΒΑΚΧΟΥ ΠΕΡΙΚΙΟΝΙΟΥ
θυμίαμα, ἀρώματα.

ΚΙΚΛΗΣΚΩ Βάκχον περικιόνιον, μεθυδώτην,
Καδμείοισι δόμοις, ὃς ἑλισσόμενος περὶ πάντα,
Ἔστησε κρατερῶς βρασμοὺς γαίης ἀποπέμψας·
Ἡνίκα πυρφόρος αὐγὴ ἐνίκησε χθόνα πᾶσαν,
Πρηστῆρος ῥοίζοις. ὁ δ' ἀνέδραμε δεσμὸς ἁπάντων.
Ἐλθὲ μάκαρ βακχευτὰ γεγηθυίαις πραπίδεσσι.

ΣΑΒΑΣΙΟΥ θυμίαμα, ἀρώματα.

ΚΛΥΘΙ πάτερ Κρόνου υἱὲ Σαβάζιε, κύδιμε δαῖμον,
Ὃς Βάκχον Διόνυσον ἐρίβρομον εἰραφιώτην
Μηρῷ ἐγκατέραψας, ὅπως τετελεσμένος ἔλθῃ
Τμῶλον ἐς ἠγάθεον παρ' Ἵππαν καλλιπάρηον.
Ἀλλὰ μάκαρ Φρυγίης μεδέων, βασιλεύτατε πάντων,
Εὐμενέων ἐπαρωγὸς ἐπέλθοις μυστιπόλοισιν.

ἹΠΠΑΣ θυμίαμα στύρακα.

ἹΠΠΑΝ κικλήσκω Βάκχου τροφὸν, εὐάδα κούρην,
Μυστιπόλον τελεταῖσιν ἀγαλλομένην Σάβου ἁγνοῦ,
Νυκτερίοισι χοροῖσι, πυριβρεμέτοις ἰάχοισι.
Κλῦθί μου εὐχομένου χθονία μήτηρ βασίλεια,
Εἴτε σύ γ' ἐν Φρυγίῃ κατέχεις Ἴδης ὄρος ἁγνὸν,
Ἢ Τμῶλος τέρπει σε, καλὸν Λυδοῖσι θόασμα·

Ἔρχεο

Qui numero lucos virides pede perſultanti
Pervolgas cum veſanis veſanu' virabus.
Quin & conſilio Jovis ad Proſerpinam alumnus
Actus crevisti, tremor immortalibu' Divis:
Sis felix, & macte fuas hoc munere ſacro.

COLUMELLÆ *ſeu* TELAMONIS PATRIS *ſuffimen, aromata.*

ELICIO *Brumum Columellam, vitiſatorem,*
Ædibu' Cadmæis, qui circum perque vagatus
Subiit onus conſtanter, terræ incendia placans;
Cum vaga inundarent flammarum flumina terram
Turbinibus calidis, hic cuncta ruentia fulſit.
Huc adſis mentis ridenti Brume lepore.

SABI PATRIS *ſuffimen, aromata.*

DIC *Sabe omnipotens, audi Saturnia prôles,*
Qui Brumum Bacchum ſtreperum, inſubulum, inſeruiſti
In femore, ut qui poſtidea maturus adiret
In Tmolum ſanctum, ubi habebat Equiria polchra.
Quare ô Rex Frugias, procerum cœli induperator,
Mitis ades, antiſtitibus ſolatia præſtans.

DIVÆ EQUIRIÆ *ſuffimen, ſturaca.*

TE *Brumi aſſa obteſtor Equiria, Dia Camilla,*
Quæ Sangi celebras elementa arcana Sabini, &
Flammicrepos cœtus & ſacra trinoctia Brumi,
Obteſtor ted alma parens Summana virago,
Sive Idæ in Frugia pervolgas culmina caſta,
Concelebras ſeu Ludorum juga ſancta Timoli,

Ἔρχεο πρὸς τελετὰς ἱερῷ γηθοῦσα προσώπῳ.

ΛΥΣΙΟΥ ΛΗΝΑΙΟΥ ὕμνος.

ΚΛΥ͂ΘΙ μάκαρ Διὸς υἱ' ἐπιλήνιε Βάκχε διμάτωρ,
Σπέρμα πολύμνηστον, πολυώνυμε, λύσιε δαῖμον.
Κρυψίγονον μακάρων ἱερὸν θάλος, εὔιε Βάκχε,
Εὐτραφῆ, εὔκαρπε, πολυγηθέα καρπὸν ἀέξων,
Ῥοχθίζων, ληναῖε, μεγασθενὲς, αἰολόμορφε·
Παυσίπονος θνητοῖσι φανεὶς, ἄκος, ἱερὸν ἄνθος,
Χάρμα βροτοῖς φιλάλυπον, ἐπάφιε, καλλιέθειρε,
Λύσιε, θυρσομανῆ, βρόμι', εὔιε, πᾶσιν εὔφρων
Οἷς ἐθέλεις θνητῶν ἠδ' ἀθανάτων ἐπιφαύσκων·
Νῦν σε καλῶ μύσταισι μολεῖν ἥδυν, φερέκαρπον.

ΝΥΜΦΩ͂Ν θυμίαμα, ἀρώματα.

ΝΥ'ΜΦΑΙ, θυγατέρες μεγαλήτορος Ὠκεανοῖο,
Ὑγροπόροις γαίης ὑπὸ κεύθεσιν οἰκί' ἔχουσαι,
Κρυψίδρομοι Βάκχοιο τροφοὶ, χθόνιαι, πολυγηθεῖς,
Καρποτρόφοι, λειμωνιάδες, σκολιόδρομοι, ἁγναὶ
Ἀντροχαρεῖς, σπήλυγξι κεχαρμέναι, ἠερόφοιτοι·
Πηγαῖαι, δρομάδες, δροσοείμονες, ἴχνεσι κοῦφαι·
Φαινόμεναι, ἀφανεῖς, αὐλωνιάδες, πολύανθοι·
Σὺν Πανὶ σκιρτῶσαι ἀν' οὔρεα, εὐάστειραι,
Πετρόρυτοι, λιγυραὶ, κορωνίπδες, ὑλονόμοι τε·
Παρθένοι εὐώδεις, λευχείμονες, εὔπνοοι αὔραις,
Αἰπολικαὶ, νόμιαι, θηρσὶν φίλαι, ἀγλαόκαρποι,
Κρυμοχαρεῖς, ἁπαλαὶ, πολυθρέμμονες· αὐξιτρόφοι τε
Κοῦραι ἁμαδρυάδες, φιλοπαίγμονες, ὑγροκέλευθοι,
Νύσιαι, μανικαὶ, παιωνίδες, εἰαροτερπεῖς,
Σὺν Βάκχῳ Δηοῖ τε χάριν θνητοῖσι φέρουσαι·

Accessis ad sacra benigno lumine volti.

LIBERI PRÆLIGANEI *carmen.*

HUc Jovis ó proles, prælarie, Brume bimater,
Sanguen honoratum, celebris, sanctissime Liber,
Arcanum germen Divorum, jubile Brume,
Augens frugiferentia adultaque pignora terræ,
Torcule, magnanime atque asper, Vortumne, Liburne,
Mustula mortalis secli, medicina, sacer flos,
Cura hominum jucunda, Tages, cincinnicapille,
Liber, cerrite, omnium amicule, Jubile, Brume,
Quis tu cumque faves hominum apparesce Deorum,
Nobis frugiferum & jucundum te volo adesse.

DIVARUM VIRARUM *suffimen, aromata.*

NUMINA clara Viræ, Oceani præstanti' propago,
Quæ liquidas colitis sub terræ anfractibus ædes,
Assæ furtivagæ Brumi, lætæque penates,
Consivæ, floræ, errantes obstita viarum,
Antricolæ, specuumcives, atque aërivolgæ,
Fontanæ, errones, rorantes, alipedesque,
Visæ atque invisæ, sertis Valloniæ amictæ,
Montibu' cum Fauno in summis Saliæ fatuantes,
Petrejæ, scatebræ, Sylvanæ, flexanimæque,
Pupulæ odoræ, albatæ, halantes suavibus auris,
Oipiliæ, Caprotinæque, volupque ferarum,
Succineæ, teneræ, nutrices, augmina rerum,
Pusæ, querquetulæ, ludicræ, cærulivolgæ,
Nysejæ, fatuæ, Meditrinæ, Veris amicæ:
Cum Cerere & Brumo mortalibus optimæ adeste,

Ἐλθὲ ἐπ' εὐφήμοις ἱεροῖς κεχαρηότι θυμῷ,
Νᾶμα χέουσ' ὑγιεινὸν ἀεξιτρόφοισιν ἐν ὥραις.

ΤΡΙΕΤΗΡΙΚΟΥ θυμίαμα, ἀρώματα.

ΚΙΚΛΗΣΚΩ σε μάκαρ πολυώνυμε μανικὲ βακχεῦ,
Ταυρόκερως, ληναῖε, πυρίσπορε, νύσιε, λυσεῦ,
Μητροτρεφὴς, λικνῖτα, πυριπόλε, καὶ τελετάρχα·
Νυκτέρ', εὐβουλεῦ, μιτρηφόρε, θυρσοτινάκτα·
Ὄργιον ἄρρητον, τριφυὲς, κρύφιον Διὸς ἔρνος·
Πρωτογόν' ἤρικε παιὲ, θεῶν πάτερ ἠδὲ καὶ υἱέ.
Ὠμάδιε, σκηπτοῦχε, χορειμανὲς, ἀγέτα κώμων,
Βακχεύων ἁγίας τριετηρίδας ἀμφὶ γαλήνας·
Ῥηξίχθων, πυριφεγγὲς, ἐπάφιε, κοῦρε διμάτωρ,
Οὐρεσιφοῖτα ἔρως, νεβριδοστόλε, ἀμφιέτηρε,
Παιὰν χρυσεγχὴς, ὑποκόλπιε, βοτρυόκοσμε.
Βάσσαρε, κισσοχαρὴς, πολυπάρθενε, καὶ διάκοσμε,
Ἐλθὲ μάκαρ μύστῃσι βρέμων κεχαρημένος αἰεί.

ΑΜΦΙΕΤΟΥΣ θυμίαμα, πάντα πλὴν λιβάνου.

ΑΜΦΙΕΤΗ καλέω Βάκχον, χθόνιον Διόνυσον,
Ἐγρόμενον κούραις ἅμα νύμφαις εὐπλοκάμοισιν·
Ὃς παρὰ Περσεφόνης ἱεροῖσι δόμοισιν ἰαύων
Κοιμίζει τριετῆρα χρόνον, Βακχήϊον ἁγνόν.
Αὐτὸς δ' ἡνίκα τὸν τριετῆ πάλι κῶμον ἐγείροις,
Εἰς ὕμνον τρέπεται σὺν εὐζώνοισι τιθήναις,
Εὐάζων κινῶν τε χοροὺς ἐνὶ κυκλάσιν ὥραις·
Ἀλλὰ μάκαρ χλοόκαρπε, κερασφόρε, κάρπιμε Βάκχε
Βαῖν' ἐπὶ πάνθειον τελετὴν γανόωντι προσώπῳ,
Εὐϊέροις καρποῖσι τελεσσιγόνοισι βρυάζων.

Hucce dicis caussa advenientes numine amico
Mitibu' temperiis sutantes sana fluenta.

TRIENNALIS PATRIS *suffimen, aromata.*

HUC *adsis Liber, Lucumo, celeberrime Die,*
Torcule, Taurifrons, sate fulmine, Nysie, Faune,
Matris alumne, sacrûm pater, ignivome, & Velabre,
Consentis, nocturne, geriferule, & tutulate.
Arcane atque indicte Jovis stirps, Virtrius idem:
*Primigena, * * atque Deûm pater & stirps.*
Bajule, sceptrigerens, Saliorumque histrio præsul,
Fœmineo stimulans divina triennia cœtu.
Terricrepe atque Tages, Lucetiu', pulle bimater,
Solemnis, cornute, Jugatine, hinnulivestis:
Insinue, Juturne, racemifer, auriquiriti,
Virginee, studiose ederarum, vinule Liber,
Flaminibus faveas, gratissime, floribus augens.

ANNIVERSARII *suffimen, omnia præter tus.*

ELICIO *prece te solemnis Tellumo Liber,*
Cum teneris blande simul expergite virabus:
Qui numero sopitus ad atria Liberæ Avernæ,
Puri consopis augusta triennia sacri.
Atque idem simulac cis festa triennia rursus,
Dulce cies cum cinctutis nutricibu' carmen,
Vagitu vegetans cœtus vortentibus annis.
Ergo hoc frugivirens, here, corniger, optime, frugi,
Pandiculare sacrum visas, sed lumine læto,
Percoquibus sacris, æternis frugibu' mactus.

ΣΙΛΗΝΟΥ, ΣΑΤΥΡΟΥ, ΒΑΚΧΩΝ
θυμίαμα, μάνναν.

ΚΛΥΘΙ μου ὦ πολύσεμνε τροφεῦ, Βάκχοιο τιθηνέ,
Σιληνῶν ὄχ' ἄριστε, τετιμένε πᾶσι θεοῖσι
Καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ τριετηρίσιν ὥραις,
Ἁγνοτερής, γεραρός, θιάσου νομίου τελετάρχα·
Εὐαστής, φιλάγρυπνε, νεάζων οἷσι σιληνοῖς.
Ναΐσι καὶ Βάκχοις ἡγούμενε κιττοφόροισιν.
Δεῦρ' ἐπὶ πάνθειον τελετὴν Σατύροις ἅμα πᾶσι
Θηροτύποις, εὔασμα διδοὺς Βακχεῖον ἄνακτος,
Σὺν Βάκχαις Ληναῖα τελεσφόρα σεμνὰ προπέμπων,
Ὄργια νυκτιφαῆ τελετῆς ἁγίαις ἀναφαίνων,
Εὐάζων, φιλόθυρσε, γαληνιόων θιάσοισιν.

Εἰς ἈΦΡΟΔΙΤΗΝ ὕμνος.

ΟΥΡΑΝΙΑ πολύυμνε φιλομμειδὴς Ἀφροδίτη,
Ποντογενής, γενέτειρα θεά, φιλοπάννυχε σεμνή,
Νυκτερία, ζεύκτειρα, δολοπλόκε, μῆτερ ἀνάγκης:
Πάντα γὰρ ἐκ σέθεν ἐστίν, ἐπεζεύξαο δὲ κόσμον.
Καὶ κρατέεις τρισσῶν μοιρῶν, γεννᾷς δὲ τὰ πάντα
Ὅσσα τ' ἐν οὐρανῷ ἐστι καὶ ἐν γαίῃ πολυκάρπῳ,
Ἐν πόντῳ τε, βυθῷ τε· σεμνὴ Βάκχοιο πάρεδρε,
Τερπομένη θαλίαισι, γαμοστόλε, μῆτερ ἐρώτων·
Πειθοῖ λεκτροχαρής, κρυφία, χαριδῶτι,
Φαινομένη τ' ἀφανής, ἐρατοπλόκαμ', εὐπατέρεια,
Νυμφιδία, σὺν δαιτὶ, θεῶν σκηπτοῦχε, λύκαινα·
Γεννοδότειρα, φίλανδρε, ποθεινοτάτη βιοδῶτι·
Ἡ ζεύξασα βροτοὺς ἀχαλινώτοισιν ἀνάγκαις,

SILVANI, INCUBI, BRUMARUM
ſuffimen, manna.

AUDI me Brumi bone nutricator & altor,
Inque ſtatis ſacris non ultima cura Deorum,
Magnaque cura hominum, celeberrime Sylvanorum,
Hircipile, & ſacræ pompaï præſul honeſte:
Pervigil, atque tuis juveneſcens, jubile, Faunis:
Brumarum cinctarum ederis, prætorque virarum,
Semiferis ſociis ad pandicularia ſacra
Dux, ades, expergeſaciens vitulamina alumni,
Cum Brumabu' tuis comitans bene rite patrata,
Hæc nocturna ſacra, allucens comitia ſancta,
Jubile, thyrſigerens, cœtu florente ſereſcens.

DIVÆ VENERIS VOLUPIÆ
carmen.

CÆLIGENA, illuſtris, ridens, arguta Venuſtas,
Spumigena ó genitrix, pernoctatrix veneranda,
Conjugula & nocturna, & vis cata mater amicæ;
Omnia nam ex te, tu invexiſti fœdera mundi:
Et trium jura tenes Mortarum, cuncta geniſque
Omni modis, cœli & terraï frugiferaï,
Et ſalſi mundi, præſes ſanctiſſima Brumi,
Concelebrans epulas, ô pronuba, mater amorum,
Suada, & ſtrativola arcana, & ſali' conciliatrix,
Viſa, inviſa, comas pulcherrima, patrima Dia,
Sponſalis, conviva, Deûm Majeſta, Luperca,
Prolifica & Vituna, viroſa, Lubentia mater.
Quæque arctas homines compagibus illecebrarum,

Καὶ θηρῶν πολὺ φῦλον ἐρωτομανῶν ἀπὸ φίλτρων·
Ἔρχεο κυπρογενὲς θεῖον γένος· εἴτ' ἐν ὀλύμπῳ
Εἶ σὺ θεὰ βασίλεια καλῷ γήθουσα προσώπῳ,
Εἴτε καὶ εὐλιβάνου Συρίης ἕδος ἀμφιπολεύεις,
Εἴτε σύγ' ἐν πεδίοισι σὺν ἅρμασι χρυσεοτεύκτοις
Αἰγύπτου κατέχεις ἱερῆς γονιμώδεα λουτρά,
Ἢ καὶ κυανέοις ὄχθοις ἐπὶ πόντιον οἶδμα
Τερπομένη χαίρεις θνητῶν κυκλίαισι χορείαις,
Ἢ Νύμφαις τέρπῃ κυανώπισιν ἐν χθονὶ δίᾳ,
Θῖνας ἐπ' αἰγιαλοῖς ψαμμώδεσιν ἅρμαλι κούφῳ.
Εἴτ' ἐν Κύπρῳ ἄνασσα τροφῷ σεο· ἔνθα καλαί σε
Παρθένοι ἀδμῆται νύμφαι τ' ἀνὰ πάντ' ἐνιαυτὸν
Ὑμνοῦσί σε μάκαιρα καὶ ἄμβροτον ἁγνὸν Ἄδωνιν.
Ἐλθὲ μάκαιρα θεὰ κάλ' ἐπήρατον εἶδος ἔχουσα·
Ψυχῇ γάρ σε καλῶ σεμνῇ ἁγίοισι λόγοισιν·

ἈΔΩ'ΝΙΔΟΣ θυμίαμα, ἀρώματα.

ΚΛΥ͂ΘΙ' μου εὐχομένου πολυώνυμε δαῖμον ἄριστε
Ἁβροκόμη, φιλέρημε, βρύων ᾠδαῖσι ποθειναῖς,
Εὔβουλε, πολύμορφε, τροφὴ πάντων ἀρίδηλε.
Κούρη, καὶ κόρε· σὺ πᾶσιν θάλος αἰὲν Ἄδωνι,
Σβεννύμενε λάμπων τε καλαῖς ἐν κυκλάσιν ὥραις·
Αὐξιθαλῆς, δίκερως, πολυήρατε, δακρυότιμε,
Ἀγλαόμορφε, κυναγεσίοις χαίρων, βαθυχαῖτα·
Ἱμερόνους, Κύπριδος γλυκερὸν θάλος, ἔρνος ἔρωτος.
Φερσεφόνης ἐρασιπλοκάμου λέκτροισι λοχευθείς·
Ὅς ποτὲ μὲν ναίεις ὑπὸ τάρταρον ἠερόεντα,
Ἠδὲ πάλιν πρὸς ὄλυμπον ἄγεις δέμας ὡριόκαρπον·
Ἐλθὲ μάκαρ μύσταισι φέρων καρποὺς ἀπὸ γαίης.

Ἑ Ρ-

Et genus omne animantum æterno volnere amoris:
Adsis caprigenum sanguen, sive atria Cœli
Dia premis, ridens regina micante labello,
Turiferæ Surias seu lustras templa beata,
Sive in æquoribus campi splendentibu' bigis
Propter habens augusta Melonis flumina opimi;
Vel si littoribus pullis, prope marmora ponti
Cœlituum gaudes Diva exultantibu' turbis,
Aut etiam tremulis pusis in gramine terræ
Littoreos ad pulvinos cum præpete curru,
Sive in Cupro matre tua, ubi rite novellæ
Te puera innuptæ, & nuptæ, formosa quotannis
Concelebrant regina atque indigetem Deum Adonem.
Huc adsis compos spectandi, Diva leporis,
Nam pura te mente colo precibusque pudicis.

ADONIDIS *suffimen, aromata.*

Te vario obtestor sub nomine Die Camille,
Mollicomans, & vasticola, atque leporibus augens,
Conse Deus, Volturne, alimentum nobile rerum,
Pusa, puer, cunctis viridescens semper Adonis,
Occase, & redivive statis vortentibus annis,
Semper adulte, bicornis, amabili', lacrumiculte,
Polcher, venatu gaudens, promisficapille,
Vinule, corculum amœnæ Divæ, germen amoris,
Quem bona polchricomans Proserpina Dia pariuit,
Omnimodis qui nunc habitat per tartara furua;
Te rursum cælo reddens tempestaque membra,
Huc sis flaminibus deducens germina terræ.

ἙΡΜΟΥ͂ ΧΘΟΝΙΟΥ θυμίαμα, στύρακα.

ΚΩΚΥΤΟΥ͂ ναίων ἀνυπόστροφον οἶμον ἀνάγκης,
Ὃς ψυχὰς θνητῶν κατάγεις ὑπὸ νέρτερα γαίης,
Ἑρμῆ Βάκχε χοροῖο Διωνύσοιο γένεθλον,
Καὶ Παφίης κούρης ἑλικοβλεφάρου Ἀφροδίτης,
Ὃς παρὰ Περσεφόνης ἱερὸν δόμον ἀμφιπολεύεις,
Αἰνομόροις ψυχαῖς πομπὸς κατὰ γαῖαν ὑπάρχων·
Ἃς κατάγεις ὁπόταν μοίρης χρόνος εἰσαφίκηται,
Εὐιέρῳ ῥάβδῳ θέλγων ὑπνοδώτιδι πάντα,
Καὶ πάλιν ὑπνώοντας ἐγείρεις. σοὶ γὰρ ἔδωκε
Τιμὴν Φερσεφόνεια θεὰ κατὰ τάρταρον εὐρὺν,
Ψυχαῖς ἀενάοις θνητῶν ὁδὸν ἡγεμονεύειν.
Ἀλλὰ μάκαρ πέμποις μύσταις τέλος ἐσθλὸν ἐπ' ἔργοις.

ἘΡΩΤΟΣ θυμίαμα, ἀρώματα.

ΚΙΚΛΗ͂ΣΚΩ μέγαν ἁγνὸν ἐράσμιον ἡδὺν Ἔρωτα,
Τοξαλκῆ, πτερόεντα, πυρίδρομον, εὔδρομον ὁρμῇ,
Συμπαίζοντα θεοῖς ἠδὲ θνητοῖς ἀνθρώποις·
Εὐπάλαμον, διφυῆ· πάντων κληῖδας ἔχοντα,
Αἰθέρος οὐρανίου, πόντου, χθονὸς, ἠδ' ὅσα θνητοῖς
Πνεύματα παντογένεθλα θεὰ βόσκει χλοόκαρπος,
Ἡ δ' ὅσα τάρταρος εὐρὺς ἔχει πόντος θ' ἁλίδουπος·
Μοῦνος γὰρ τούτων πάντων οἴηκα κρατύνεις.
Ἀλλὰ μάκαρ καθαραῖς γνώμαις μύσταισι συνέρχου,
Φαύλους δ' ἐκτοπίους θ' ὁρμὰς ἀπὸ τῶν δ' ἀπόπεμπε.

MERCURII TELLUMONIS SUMMANI *suffimen, sturacem.*

QUI colis *Amsanctum & viam inexorabilem Averni,*
Pallentesque animas sub tristia tartara mittis
Tellumo, lascivi patri' Liberi alumna propago,
Atque Venustatis Divaï, Murtiæ amenæ,
Qui per Larundæ sacraria sancta vagaris,
Ægrorum Lemurum sub terra, accense viator,
Ducens cum stetit illa dies qua Morta profata est:
Sagminea rude Die soporifer omnia mulcens,
Lumina item fallace natantia morte resignans.
(Hoc tibi nam Larunda dedit prætura in Averna,
Manibus æternis mortalium iter comitari)
Flaminibus tandem da faustum in rebu' laborem.

CUPIDINIS *suffimen, aromata.*

MAGNE *voco te purime, amabili', blande Cupido,*
Arcitenens, ales puer, ignivage, impete velox,
Ludens cum Divis & cum mortalibu' seclis,
Caute, gemelle puer, qui cunctorum æditus es,
Cœlei atque Covi, & terrę, & Maris omnigenę, & quę
Nutricatur alens spirantia frugiparens Ops.
Quæque & Avernus ager genit, & mare marmore flavo:
Nam cunctorum horum solus moderari' guberna;
Sacrificis adsis ó pura mente ministris,
Avertens illegitimę cuppedinis æstus.

ΜΟΙΡΩ͂Ν θυμίαμα, ἀρώματα.

ΜΟΙ͂ΡΑΙ ἀπειρέσιοι, νυκτὸς φίλα τέκνα μελαίνης,
Κλῦτέ μου εὐχομένου πολυώνυμοι, αἵτ' ἐπὶ λίμνης
Οὐρανίας (ἵνα λευκὸν ὕδωρ νυχίας ὑπὸ θέρμης
Ῥήγνυται) ἐν σκιερῷ λιπαρῷ μυχῷ, εὐλίθῳ ἄντρῳ)
Ναίουσαι, πεπότησθε βροτῶν ἐπ' ἀπείρονα γαῖαν·
Ἔνθεν ἐπὶ βρότεον δόκιμον γένος ἐλπίδι κοῦφον
Στείχετε, πορφυρέοισι καλυψάμεναι ὀθόνῃσι·
Μορσίμῳ ἐν πεδίῳ, ὅτι πάγγεον ἅρμα διώκει
Δόξα, δίκης παρὰ τέρμα καὶ ἐλπίδος ἠδὲ μεριμνῶν,
Καὶ νόμον ὠγυγίου καὶ ἀπείρονος εὐνόμου ἀρχῆς.
Μοῖρα γὰρ ἐν βιότῳ καθορᾷ μόνον, οὐδέ τις ἄλλος
Ἀθανάτων οἵ ἔχουσι κάρη νιφόεντος ὀλύμπου,
Καὶ Διὸς ὄμμα τέλειον· ἐπεί γ' ὅσα γίγνεται ἡμῖν,
Μοῖρα τε καὶ Διὸς οἶδε νόος διαπαντὸς ἅπαντα.
Ἀλλά μοι νυκτέριοι μαλακόφρονες ἠπιόθυμοι,
Ἄτροπε καὶ Λάχεσι, Κλωθὼ, μόλετ' εὐπατέρειαι,
Ἀέριοι, ἀφανεῖς, ἀμετάτροποι, αἰὲν ἀτειρεῖς.
Παντοδότειραι, ἀφαιρέτιδες, θνητοῖσιν ἀνάγκη.
Μοῖραι ἀκούσατ' ἐμῶν ὁσίων λοιβῶν τε καὶ εὐχῶν,
Ἐρχόμεναι μύσταις λυσιπήμονες εὔφρονι βουλῇ·
Μοιράων τέλος ἔλθ' ἀοιδὴ, τὴν ὕφαν' Ὀρφεύς.

ΧΑΡΙΤΩΝ θυμίαμα, στύρακα.

ΚΛΥ͂ΤΕ΄ μοι ὦ χάριτες μεγαλώνυμοι, ἀγλαότιμοι.
Θυγατέρες Ζηνός τε καὶ Εὐνομίης βαθυκόλπου,
Ἀγλαΐη τε, Θάλεια, καὶ Εὐφροσύνη πολύολβε,
Χαρμοσύνης γενέτειραι, ἐράσμιαι, εὐφρόσυν' ἁγναὶ
Αἰολό-

MORTARUM *Carmentum seu* PARCARUM *suffimen, aromata.*

MORTÆ *infinitæ, nigrantis nocti' propages,*
Vos precor ô celebres, quæ sub cœleste palude
Qua canus liquor induferi de fonte lavacri,
Labitur æterni specus sub pumice opaco,
Cives pervolgatis alumna animantia terræ,
Inde loci ad ventosum hominum seclum, leve, hians spes,
Pergiti', carbaseis obstantes lumina velis,
Fatali in campo, ut bigas levis aurigatur
Gloria justitiæ ad metas, speique & curarum,
Et legem casci, magni, laudabili' regni.
Tantum Morta est vitaï prima, haud alis ullus
Divûm qui pedibus polsant cœnacula cœli,
Et Jovi' cortumio est. etenim quæ cuncta manent nos,
Tantum Morta, Jovisque æterni dædala mens scit.
Nocturnæ, mitissima pectora, numina amica,
Atropeque, & Lachesi, & Clotona, ô patrimæ adeste,
Aëriæ, invisæ, tetricæ, irrequietæ Divæ:
Omnia item mortalibu' quæ datis, omnia fertis.
O mea, Mortæ, audite lubenter liba precesque,
Nubila tergentes mordacibu' pectora curis.

GRATIARUM *seu* VENUSTATUM *suffimen, sturacem.*

ADSITIS *celebres illustres Gratiæ, honoræ,*
Progenies Jovis alma, Paludæque Egeriaï,
Majesta & Flora, & Vitula, augustissima virgo,
Lætitiæ matres, lepidæ, puræ, vitulantes,

Αἰολόμορφοι, ἀειθαλέες, θνητοῖσι ποθειναὶ,
Εὐκτῖαι, κυκλάδες, καλυκώπιδες, ἱμερόεσσαι·
Ἔλθοιτ' ὀλβοδότειραι, ἀεὶ μύσταισι προσηνεῖς.

ΝΕΜΕ'ΣΕΩΣ ὕμνος

Ὦ Νέμεσι, κλήζω σε θεὰ βασίλεια μεγίστη,
Πανδερκὴς, ἐσορῶσα βίον θνητῶν πολυφύλων·
Ἀϊδία, πολύσεμνε, μόνη χαίρουσα δικαίοις,
Ἀλλάσσουσα λόγον πολυποίκιλον, ἄστατον αἰεὶ,
Ἣν πάντες δεδίασι βροτοὶ ζυγὸν αὐχένι θέντες.
Σὴ γὰρ ἀεὶ γνώμη πάντων πέλει, οὐδέ σε λήθει
Ψυχὴ ὑπερφρονέουσα λόγων ἀδιακρίτῳ ὁρμῇ·
Πάντ' ἐσορᾷς, καὶ πάντ' ἐπακούεις, πάντα βραβεύεις·
Ἐν σοὶ δ' εἰσὶ δίκαι θνητῶν, πανυπέρτατε δαῖμον.
Ἐλθὲ μάκαιρ' ἁγνὴ μύσταις ἐπιτάρροθος αἰεί·
Δὸς δ' ἀγαθὴν διάνοιαν ἔχειν, παύουσα πανεχθεῖς
Γνώμας, οὐχ ὁσίας, πανυπέρφρονας, ἀλιτροτάτας.

ΔΙ'ΚΗΣ θυμίαμα, λίβανον.

ὌΜΜΑ Δίκης μέλπω πανδερκέος, ἀγλαομόρφου,
Ἣ καὶ Ζηνὸς ἄνακτος ἐπὶ θρόνον ἱερὸν ἵζει,
Οὐρανόθεν καθορῶσα βίον θνητῶν πολυφύλων,
Τοῖς ἀδίκοις τιμωρὸς, ἐπιβρίθουσα δίκαια,
Ἐξ ἰσότητος ἀληθείας συνάγουσ' ἀνόμοια.
Πάντα γὰρ ὅσσα κακαῖς γνώμαις θνητοῖσιν ὀχεῖται,
Δύσκριτα βουλομένοις τὸ πλέον βουλαῖς ἀδίκοισι,
Μούνη ἐπεμβαίνουσα δίκην ἀδίκοις ἐπεγείρεις,
Ἐχθρὰ τῶν ἀδίκων, εὔφρων δὲ συνέσσι δικαίοις.
Ἀλλὰ θεὰ μόλ' ἐπὶ γνώμαις ἐσθλαῖσι δικαία,

Ὡς

Volturnæ, semper virides, mortalibu' gratæ,
Votitæ pura, Vortumnæ, cœsiæ, amœnæ,
Assiduæ ventate volentes fausta Camillis.

DIVÆ NEMESIS GRÆCANICÆ. (*Latine* VORTICORDIÆ) *carmen.*

TE *voco te Nemesis victrix Dea, magna Camilla,*
Omnituens, hominum scrutans mortalia corda,
Æterna & veneranda, colens sola aurea jura,
Quæ varios mutas humani pectori' fluctus,
Quam agnoscunt juste hærentes compagibus omnes,
Nam nosti interiora animorum, haud te lateat mens
Detrectans rationi' jugum, cuppedine iniqua.
Cuncta tueris, cuncta audis, cuncta admoderaris:
In te stant mortalia jura, potissima Dia:
Adsis præstitibus puri sacri auxiliatrix,
Da placidas rationis opes, cohibens inimica
Consilia, insidiantia, iniqua, superba, nefasta.

DIVÆ JUSTITIÆ *suffimen, tus.*

JUSTITIÆ *obtestor, pulchræ omnituentis ocellum,*
Ad Jovi' Dictatori' sedet quæ illustre tribunal,
Cœlitus endotuens mores mortalium homonum,
Atque ultrix plectens humana nefantia facta,
Ex æquo veri conjungens disparile omne.
Nam quęcunque viris sententia pessima suasit,
Consiliis diris infanda volentibu' quęque,
Sola jugum imponens injustis jura ministris,
Injustorum hostis, Sanatum mitis amica.
Verum adsis semper fausto Dea numine justa,

Vitaï

Ὡς ἂν ἀεὶ βιοτῆς τὸ πεπρωμένον ἦμαρ ἐπέλθοι.

62. ΔΙΚΑΙΟΣΥΝΗΣ θυμίαμα, λίβανον.

Ὦ θνητοῖσι δικαιοτάτη, πολύολβε, ποθεινή,
Ἐξ ἰσότητος ἀεὶ θνητοῖς χαίρουσα δικαίοις·
Πάντιμε, ὀλβιόμοιρε, Δικαιοσύνη μεγαλαυχής,
Ἣ καθαραῖς γνώμαις αἰεὶ τὰ δέοντα βραβεύεις,
Ἄθραυστος τὸ συνειδός· ἀεὶ θραύεις γὰρ ἅπαντας
Ὅσοι μὴ τὸ σὸν ἦλθον ὑπὸ ζυγὸν, ἀλλ' ὑπὲρ αὐτοῦ
Πλάστιγξι βριαραῖσι παρεγκλίναντες ἀπλήστως.
Ἀστασίαστε, φίλη πάντων, φιλόκωμ', ἐρατεινή,
Εἰρήνῃ χαίρουσα, βίον ζηλοῦσα βέβαιον.
Αἰεὶ γὰρ τὸ πλέον στυγέεις, ἰσότητι δὲ χαίρεις.
Ἐν σοὶ γὰρ σοφίης ἀρετῆς τέλος ὅλον ἱκάνει.
Κλῦθι θεὰ, κακίην θνητῶν θραύουσα δικαίως,
Ὡς ἂν ἰσοῤῥοπίαισιν ἀεὶ βίος ἐσθλὸς ὁδεύοι
Θνητῶν ἀνθρώπων οἳ ἀρούρης καρπὸν ἔδουσι,
Καὶ ζώων πάντων, ὁπόσ' ἐν κόλποισι τιθηνεῖ
Γαῖα θεὰ μήτηρ καὶ πόντιος εἰνάλεος Ζεύς.

63. Ὕμνος ΝΟΜΟΥ.

Ἀθανάτων καλέω καὶ θνητῶν ἁγνὸν ἄνακτα,
Οὐράνιον Νόμον, ἀστροθέτην, σφραγῖδα δικαίαν
Πόντου τ' εἰναλίου καὶ γῆς φύσεως τὸ βέβαιον·
Ἀκλινῆ, ἀστασίαστον, ἀεὶ τηροῦντα νόμοισιν,
Οἷσιν ἄνωθε φέρων μέγαν οὐρανὸν αὐτὸς ὁδεύει.
Καὶ φθόνον οὐ δίκαιον ῥοίζου τρόπον αὐτὸς ἐλαύνει·
Ὃς καὶ θνητοῖσιν βιοτῆς τέλος ἐσθλὸν ἐγείρει.
Αὐτὸς γὰρ μοῦνος ζώων οἴηκα κρατύνει,
Γνώμαις ὀρθοτάτῃσι συνών, ἀδιάστροφος αἰεί·

Ὠγύ-

^ adde K'

Vitaï ut veniat finis, quam Morta profata est.

DIVÆ ÆQUITATIS *suffimen, tus.*

O *bona cura hominum, locuples, justissima virgo,*
Semper amans homines æqualia jura colentes,
O veneranda, beata Dea, ô Juritis honora,
Puris judiciis dispensans optima jura,
Nec mentem labefacta. etenim cunctos labefactas
Qui tua non subiere boni juga, sed magis ipsa
Indomiti, horrifice declinant verbera flagri,
Concors, omnibus æqua, venusta, dicacula, amica,
Munia pacis amans, certæ cupidissima vitæ.
Nam plus deteriusque odisti, & diligis æquum.
In te habet virtus, in te sapientia finem.
Adsis Dia, hominum frangens audacia facta,
Ut semper justam æqua ferant vestigia vitam,
Omnium qui terræ vescuntur munere opimo,
Atque animantum aliûm, quæque educat omniparenti
Alma sinu tellus, & quæ maris æquoreus Dis.

LEGIS *carmen.*

C OEligenûm *atque hominum genium te Diva voco Lex,*
Cœlestem, astrificem, rerum commune sigillum,
Terraï, æquorei sali', naturæque statumen.
Concors & constans servans bene legibus aptum,
Quîs tu is componens cœli immortalia jura,
Et quati' sublestam invidiam vortigini' ritu:
Qui bona das vitæ mortalibu' munia obire,
Sola etenim moderare animantum cuncta guberna,
Consiliis cernens observantissima rectis:

Casca,

Ὠγύγιος, πολύπειρος, ἀβλάπτως πᾶσι ζωοικῶν
Τοῖς νομίμοις, ἀνόμοις δὲ φέρων κακότητα βαρεῖαν.
Ἀλλὰ μάκαρ πάντιμε, φερόλβιε, πᾶσι ποθεινὲ,
Εὐμενὲς ἦτορ ἔχων μνήμην σέο πέμπε φέρεστε.

ΑΡΕΟΣ θυμίαμα, λίβανον.

ἌΡΡΗΚΤ', ὀβριμόθυμε, μεγασθενὲς, ἄλκιμε δαῖμον,
Ὁπλοχαρὴς, ἀδάμαστε, βροτοκτόνε, τειχεσιπλῆτα
Ἆρες ἄναξ, δολόδουπε, φόνοις πεπαλαγμένος αἰεὶ,
Αἵματι ἀνδροφόνῳ χαίρων, πολεμόκλονε, φρικτὲ,
Ὃς ποθέεις ξίφεσίν τε καὶ ἔγχεσι δῆριν ἄμουσον.
Στῆσον ἔριν λυσσῶσαν, ἄνες πόνον ἀλγεσίθυμον·
Εἰς δὲ πόθον νεῦσον Κύπριδος, κώμους τε λυαίους,
Ἀλλάξας ἀϊκὴν ὅπλων εἰς ἔργα τὰ Δηοῦς·
Εἰρήνην ποθέων κουροτρόφον, ὀλβιοδῶτιν.

ΗΦΑΙΣΤΟΥ θυμίαμα, λιβανομάνναν.

ἭΦΑΙΣΤ' ὀβριμόθυμε, μεγασθενὲς, ἀκάματον πῦρ,
Λαμπόμενε φλογίαις αὔγαις φαεσίμβροτε δαῖμον
Φωσφόρε, καρτερόχειρ, αἰώνιε, τεχνοδίαιτε,
Ἐργαστὴρ, κόσμοιο μέρος, στοιχεῖον ἀμεμφὲς,
Παμφάγε, πανδαμάτωρ, πανυπέρτατε, παντοδίαιτε,
Αἰθὴρ, ἥλιος, ἄστρα, σελήνη, φῶς ἀμίαντον.
Ταῦτα γὰρ Ἡφαίστοιο μέλη θνητοῖσι προφαίνει.
Πάντα δὲ οἶκον ἔχεις, πᾶσαν πόλιν, ἔθνεα πάντα·
Σώματά τε θνητῶν οἰκεῖς πολύολβε, κραταιέ·
Κλῦθι μάκαρ, κλήζω πρὸς εὐιέρους ἐπὶ λοιβὰς,
Αἰεὶ ὅπως χαίρουσιν ἐπ' ἔργοις ἥμερος ἔλθοις.
Παῦσον λυσσῶσαν μανίαν πυρὸς ἀκαμάτοιο,
Καῦσιν ἔχων φύσεως ἐν σώμασιν ἡμετέροισιν.

ἈΣΚΛΗ-

Casca, experta, comes justis innoxia semper,
Injustosque labefaciens ingentibu' noxis.
Sed veneranda opulentifer omnium amœna voluptas.
Fac tuî nos memores, aspirans nomen amicum.

MAVORTIS *suffimen, tus.*

MAGNANIME, *impavide, invicte atque asperrime*
Indomite, armipotens, parricida, impetimure, (Mavors,
Marspiter, ô crepericrepe, tabo & sanguine stillans,
Sanguinis humani sitiens bellicrepe, torve,
Ensibus, atque inamœna colens certamina runis:
Siste duellum, & cordolios requiesce tumultus,
Inque Venustatis divæ, & Brumi otia dia,
Et munus Cereale duelli confer amorem:
Semper pacem optans, victum & re cope vigentem

VOLCANI *suffimen, libanomanna.*

VOLÇANE *omnipotens, fortissime, flammaque perpes,*
Ignitis florens auris, Lucetiu' dius,
Lucerius, Viriate, Nero æterne, artipotensque,
Ferrifaber, purumque elementum, portio mundi,
Omnivore, omnidomans, superans omnia, omnia lustrans;
Sol & Luna, covum, stellæ, fons purimus ignis,
Membra hæc Volcani mortalibus ignea lucent.
Omnes inducolis gentesque urbesque domosque,
Artubus insinuans mortalibus, alme, beate:
Sis felix, atque hæc nostra ad libamina cede:
Ut placidus venias operum bonus auxiliator,
Atque implacatæ extinxis incendia flammæ,
Fomitis in nobis servans genitabile lumen.

ÆSCU-

66 ## ἈΣΚΛΗΠΙΟΥ͂ θυμίαμα, μάνναν.

ΙΗΤΗ'Ρ πάντων Ἀσκληπιὲ, δέσποτα Παιάν,
Θέλγων ἀνθρώπων πολυαλγέα πήματα νούσων,
Ἠπιόδωρε κραταιὲ μόλοις κατάγων ὑγίειαν,
Καὶ παύων νούσων χαλεπὰς κῆρας θανάτοιο,
Αὐξιθαλὴς κόρε, ἀπαλεξίκακ', ὀλβιόμοιρε,
Φοίβου Ἀπόλλωνος κρατερὸν θάλος ἀγλαότιμον,
Ἐχθρὲ νόσων, ὑγίειαν ἔχων σύλλεκτρον ἀμεμφῆ,
Ἐλθὲ μάκαρ σωτὴρ, βιοτῆς τέλος ἐσθλὸν ὀπάζων.

67 ## ὙΓΙΕΙ'ΑΣ θυμίαμα, μάνναν.

ΙΜΕΡΟ'ΕΣΣ', ἐρατὴ, πολυθάλμιε, παμβασίλεια,
Κλῦθι μάκαιρ' Ὑγίεια φερόλβιε, μῆτερ ἁπάντων.
Ἐκ σέο γὰρ νοῦσοι μὲν ἀποφθινύθουσι βροτοῖσι,
Πᾶς δὲ δόμος θάλλει πολυγηθὴς εἵνεκα σεῖο,
Χαὶ τέχναι βρίθουσι. ποθεῖ δέ σε κόσμος ἄνασσα,
Μοῦνος δὲ στυγέει σ' ἀΐδης ψυχοφθόρος αἰεί·
Εὐθαλὴς, εὐκταιοτάτη, θνητῶν ἀνάπαυμα.
Σοῦ γὰρ ἄτερ πάντ' ἐστὶν ἀνωφελῆ ἀνθρώποισιν.
Οὔτε γὰρ ὀλβοδότης Πλοῦτος γλυκερὸς θαλίῃσιν.
Οὔτε γέρων πολύμοχθος ἄτερ σέο γίνεται ἀνήρ.
Πάντων γὰρ κρατέεις μούνη, καὶ πᾶσιν ἀνάσσεις.
Ἀλλὰ θεὰ μόλε μυστιπόλοις ἐπιτάῤῥοθος αἰεὶ,
Ῥυομένη νούσων χαλεπῶν κακόποτμον ἀνίην.

68 ## ἘΥΜΕΝΙ'ΔΩΝ θυμίαμα, ἀρώματα.

ΚΛΥ͂ΤΕ θεαὶ πάντιμοι, ἐρίβρομοι, εὐάστειραι,
Τισιφόνη τε καὶ Ἀλληκτὼ, καὶ δῖα Μέγαιρα·

Νυκτέριαι,

ÆSCULAPII *suffimen, manna.*

CUNCTORUM *Æsclapi Juturne, salutifer, alme,*
Morborum omnigenûm mulcens contagia iniqua,
Mulciber excellens, ades huc comitatu' salute,
Mortiferæ cohibens incendia pestilitatis;
Vesticipor, Verrunce, rei largitor opimæ,
Februi Apollineris viridans & honora propago,
Morbi perduellis, conjuxque salutis amœnæ;
Huc ô sospes ades, ævi dans prospera fata.

DIVÆ SALUTI MEDITRINÆ *suffimen, manna.*

O *fœcunda salus, & amabilis omnibu' regnans,*
Huc adsis Meditrina opulentifer, omniparensque.
Pestilitas ex te omnis abit mortalibus ægris,
Cuncta lepore tuo viridant vitulantia tecta,
Dædalaque ars; te Mundu' cupit perculsu' tua vi.
Tantum odit te Dis vitaï pessima finis.
O cupiunda, veges, solamen amabile rerum,
Te sine nulla seni usurpanda in fine senectæ
Gratia: sola omnes captas, sola omnibu' regnas.
Sed tu blanda tuis præsto adsis diva Camillis,
Avertens pestes morborumque agmina amara.

MANARUM DIRARUM *suffimen, aromata.*

V*Os calo vocIferæ Divæ, horrendæ, fatuantes,*
Alectona & Tisiphona, & veneranda Megæra:

Noct;

Νυκτέριαι, μύχιαι, ὑπὸ κεύθεσιν οἰκί' ἔχουσαι
Ἄντρῳ ἐν ἠερόεντι, παρὰ Στυγὸς ἱερὸν ὕδωρ.
Οὐχ' ὁσίαις βουλαῖσι βροτῶν πεποτημέναι αἰεὶ,
Λυσσήρεις, ἀγέρωχοι, ἐπευάζουσαι ἀνάγκαις,
Θηρόπεπλοι, τιμωροὶ, ἐρισθενέες, βαρυαλγεῖς,
Ἀΐδεω χθόνιαι φοβεραὶ κόραι αἰολόμορφοι,
Ἠέριαι, ἀφανεῖς, ὠκύδρομοί θ' ὥς τε νόημα.
Οὔτε γὰρ ἠελίου ταχιναὶ φλόγες, οὔτε σελήνης,
Καὶ σοφίας ἀρετῆς τε, καὶ ἐργασίμου θρασύτητος,
Εὐχαρεῖ, οὔτε βίου λιπαρᾶς περικαλλέος ἥβης,
Ὑμῶν χωρὶς ἐγείρει εὐφροσύνας βιότοιο.
Ἀλλ' αἰεὶ θνητῶν πάντων ἐπ' ἀπείρονα φῦλα,
Ὄμμα Δίκης ἐφορᾶτε, δικασπόλοι αἰὲν ἐοῦσαι.
Ἀλλὰ θεαὶ μοῖραι ὀφιοπλόκαμοι πολύμορφοι.
Πραΰνοον μετάθεσθε βίου μαλακόφρονα δόξαν.

ΕΥΜΕΝΙΔΩΝ θυμίαμα, ἀρώματα.

ΚΛΥ͂ΤΈ μου Εὐμενίδες μεγαλώνυμοι εὔφρονι βουλῇ,
Ἁγναὶ θυγατέρες μεγάλοιο Διὸς χθονίοιο,
Φερσεφόνης τ' ἐρατῆς κούρης καλλιπλοκάμοιο,
Ἣ πάντων καθορᾷ βίοτον θνητῶν ἀσεβούντων·
Τῶν ἀδίκων τιμωροὶ ἐφεστηκυῖαι ἀνάγκῃ,
Κυανόχρωτοι ἄνασσαι, ἀπαστράπτουσαι ἀπ' ὄσσων
Δεινὴν ἀνταυγῆ φάεος σαρκοφθόρον αἴγλην·
Ἀΐδιοι, φοβερῶπες, ἀπόστροφοι, αὐτοκράτειραι,
Λυσιμελεῖς οἴστρῳ βλοσυροννύχιαι, πολύποτμοι,
Νυκτέριαι κοῦραι, ὀφιοπλόκαμοι, φοβερῶπες,
Ὑμᾶς κικλήσκω γνώμαις ὁσίαισι πελάζειν.

MH-

Noctivagæ, induferæ, summana silenta colentes,
Ad vada sanguinei Amsancti atque obnubila templa
Undique ventantes humana piacula propter,
Vesanæ atque petulcæ, flagrorum agmine ovantes,
Angitiæ, ultrices, rigidæque, atque hispidivestes,
Terribiles, Orci gnatæ, Vortumnifiguræ,
Aëriæ, invisæ, leviores præpete mente.
Nam neque vel citimi Solis Lunæque labores,
Nec virtus sapientipotens nec amœna venustas
Artificum, ætatis nitidæ nec adulta juventas,
Invitis vobis agitarint gaudia læta.
Semper ac in terris hominum mortalia secla
Justitia regitis reddentes aurea jura.
Sed Divæ Mortæ, serpenticomæ, Volturnæ,
Vos placatum animum meliori reddite menti.

MANARUM TENIRARUM
suffimen, aromata.

CONSENTES *Manæ celebrabile numen habentes,*
Huc castæ indufero prognatæ Diiove pusæ,
Pusæ Tartareæ Junonis alumna propages,
Humanæ quæ censet iniqua piacula gentis,
Ultrices scelerum, excubiis vigiles inhiantes,
Atricutes, scintillantes grave fulgur ocellis,
Sacros carnificisque micantes luminis ignes,
Reginæ, æternæ, postuertæ, terriculæque,
Tortores stimulo fatorum jura tenentes,
Nocturnæ pusæ, voltuosæ, crinicolubres,
Vos veneror, vos mente pia adventassere amicas.

ΜΗΛΙΝΟΗΣ θυμίαμα, ἀρώματα.

Μηλινόην καλέω νύμφην χθονίαν κροκόπεπλον,
Ἣν παρὰ Κωκυτοῦ προχοαῖς ἐλοχεύσατο σεμνὴ,
Φερσεφόνη, λέκτροις ἱεροῖς Ζηνὸς Κρονίοιο.
Ἧ ψευσθεὶς Πλούτων ἐμίγη δολίαις ἀπάταισι,
Θυμῷ Φερσεφόνης δὲ δισώματον ἔσπασε χροιήν.
Ἣ θνητοὺς μαίνει φαντάσμασιν ἠερίοισιν,
Ἀλλοκότοις ἰδέαις μορφῆς τύπον ἐκπροφαίνουσα.
Ἄλλοτε μὲν προφανής, ποτὲ δὲ σκοτόεσσα, νυχαυγής,
Ἀνταίαις ἐφόδοισι κατὰ ζοφοειδέα νύκτα.
Ἀλλὰ θεὰ λίτομαί σε καταχθονίων βασίλεια,
Ψυχῆς ἐκπέμπειν οἶστρον ἐπὶ τέρματα γαίης,
Εὐμενὲς εὔιερον μύσταις φαίνουσα πρόσωπον.

ΤΥΧΗΣ θυμίαμα, λίβανον.

Δεῦρο Τύχη. καλέω σ' ἀγαθὴν κράντειραν ἐπ' εὐχαῖς
Μειλιχίαν ἐνοδῖτιν, ἐπ' εὐόλβοις κτεάτεσσιν,
Ἄρτεμιν ἡγεμόνην, μεγαλώνυμον, Εὐβουλῆος
Αἵματος ἐκγεγαῶσαν· ἀπρόσμαχον εὖχος ἔχουσαν,
Τυμβιδίαν, πολύπλαγκτον, ἀοίδιμον ἀνθρώποισιν·
Ἐν σοὶ γὰρ βίοτος θνητῶν παμποίκιλός ἐστι.
Οἷς μὲν γὰρ τεύχεις κτεάνων πλῆθος πολύολβον,
Οἷς δὲ κακὴν πενίην, θυμῷ χόλον ὁρμαίνουσα.
Ἀλλὰ θεὰ λίτομαί σε μολεῖν βίῳ εὐμενέουσαν,
Ὄλβοισιν πλήθουσαν ἐπ' εὐόλβοις κτεάτεσσιν.

DIVÆ LARUNDÆ MOSTELLARIÆ *suffimen, aromata.*

TE *veneror summana Lemuria, virgo paluda,*
Quam prope Avernales fluxus, veneranda parivit
Arcano commista Jovi Proserpina amore.
Et quoi concubuit Dis fraude, cupidinis æstu
Calvitus, traxitque bimembrem matri' colorum.
Quæ genus humanum furiat larvalibus umbris,
Omnifera specie commutans horrida volta;
Nunc clara apparens, nunc fuscans nocte figuram:
Occursu horrifero pervolgans noctis opaca,
Sed sub te placo Regina nigrantis Averni,
Montivagos stimulos protela ad extima terræ,
Flaminibus facii ostentans placabile numen.

FORTIS FORTUNÆ *suffimen, tus.*

HUC *sis Fors Fortuna, sacris Regina voco te*
Mansuetam, Triviamque, rei prædivitis ergo,
Et Deianam antistitam, opaci sanguine Consi
Progenitam, æternumque invicta laude cluentem,
Atque Libentinam, perbitentem, omnibu' cautam
Dædala namque in te opulentia constat homonum,
Namque aliis copum das rerum pleraque abunde,
Paupertatem aliis, iraram percita fastu.
Verum, ô Diva, domi te obsecro Favoniam adesse,
Gliscentem re cope, rei prædivitis ergo.

ΔΑΙ´ΜΟΝΟΣ θυμίαμα, λίβανον.

ΔΑΙ´ΜΟΝΑ κικλήσκω μεγαλαννηγήτορα φρικτὸν.
Μειλίχιον Δία, παγγενέτην, βιοδώτορα θνητῶν,
Ζῆνα μέγαν, πολύπλαγκτον ἀλάστορα, παμβασιλῆα·
Πλουτοδότην, ὁπόταν γε βρυάζων οἶκον ἐσέλθῃ,
Ἔμπαλι δὲ ψύχοντα βίον θνητῶν πολυμόχθων.
Ἐν σοὶ γὰρ λύπης τε χαρᾶς κληῖδες ὀχοῦνται·
Τοιγάρ τοι μάκαρ ἁγνὲ πολύσπορα κήδε' ἐλάσσας,
Ὅσσα βιοφθορίην πέμπει κατὰ γαῖαν ἅπασαν,
Ἔνδοξον βιοτῆς γλυκερὸν τέλος ἐσθλὸν ὀπάζοις.

ΛΕΥΚΟΘΕ´ΑΣ θυμίαμα, ἀρώματα.

ΛΕΥΚΟΘΕ´ΑΝ καλέω Καδμηΐδα δαίμονα σεμνὴν,
Εὐδύνατον, θρέπτειραν ἐϋστεφάνου Διονύσου.
Κλῦθι θεὰ πόντοιο βαθυστέρνου μεδέουσα,
Κύμασι τερπομένη, θνητῶν σώτειρα μεγίστη.
Ἐν σοὶ γὰρ νηῶν πελαγοδρόμος ἄστατος ὁρμὴ,
Μούνη δὲ θνητῶν οἰκτρὸν μόρον εἰν ἁλὶ λύεις,
Οἷς ἂν ἐφορμαίνουσα φίλη σωτήριος ἔλθοις.
Ἀλλὰ θεὰ δέσποινα μόλοις ἐπαρωγὸς ἐοῦσα,
Νηυσὶν ἐπ' εὐσέλμοις σωτήριος εὔφρονι βουλῇ,
Μύσταις ἐν πόντῳ ναυσίδρομον οὖρον ἄγουσα.

ΠΑΛΑΙ´ΜΟΝΟΣ θυμίαμα, μάνναν.

ΣΥ´ΝΤΡΟΦΕ Βάκχε χοροῖο Διωνύσου πολυγηθοῦς,
Ὃς ναίεις πόντοιο βυθοὺς βαθυκύμονας ἁγνοὺς,
Κικλήσκω σε Παλαῖμον ἐπ' εὐιέροις τελετῇσιν
Ἐλθεῖν εὐμενέοντα, νέῳ γήθοντα προσώπῳ,

Καὶ

GENII *suffimen, tus.*

MAGNANIMUM Genium cœlo, prætorem venerandū,
Mansuetumque Jovem, auctorem genitabilis auræ,
Dijovem, ubique vagantem, & Væjovem imperitantem:
Qui largiris opes, ut inisti tecta cachinnans,
Et contra humanæ extinguis qui commoda vitæ.
Lætitiæ, mœrori', Patulciu', Clusius idem es.
Quare Sange pater, curarum semina pellens,
Insidiantia vitæ, in terra frugiferenti,
Da precor æquanimo vitam concludere fine.

DIVÆ ALBUNEÆ *suffimen, aromata.*

ALBUNEAM elicio prognatam principe Cadmo,
Magnam, quæ Brumum est obstetricata nefrendem:
Huc ades ô quæ salsa tenes & cærula templa,
Fluctibus exultans, nautarum sospita Juno;
Nam te respiciunt puppes per cæca pericla;
Una laborantem solaris in æquore volgum;
Quis tu subveniens ades in discrimine sospes,
Ergo salutaris præsens urgentibus adsis
Rebus, velivolas observans candida puppes;
Atque tuis largire, Favonia, flabra ministris.

PORTUMNI *suffimen, manna.*

QUI suxisti una cum Brumo lacte novellum,
Quique colis liquidos & ovantes turbine campos,
O Portumne lubenter ad hæc te liba vocamus;
Fronte renidentem & ridenti lumine volti,

Καὶ σώζειν μύστας κατά τε χθόνα καὶ κατὰ πόντον.
Ποντοπλάνοις γὰρ ἀεὶ ναυσὶν χειμῶνος ἐναργὴς
Φαινόμενος σωτὴρ μοῦνος θνητοῖς ἀναφαίνῃ.
Ῥυόμενος μηνῖν χαλεπὴν κατὰ πόντιον οἶδμα.

ΜΟΥΣΩ͂Ν θυμίαμα, λίβανον.

ΜΝΗΜΟΣΥ'ΝΗΣ καὶ Ζηνὸς ἐριγδούποιο θύγατρες,
Μοῦσαι Πιερίδες μεγαλώνυμοι, ἀγλαόφημοι,
Θνητοῖς οἷς κε παρῆτε, ποθεινόταται, πολύμορφοι,
Πάσης παιδείης ἀρετὴν γεννῶσαι ἄμεμπτον·
Θρέπτειραι ψυχῆς, διανοίας ὀρθοδότειραι,
Καὶ νοῦ δυνάτοιο καθηγήτειραι ἄνασσαι,
Αἱ τελετὰς θνητοῖς ἀνεδείξατε μυστιπολεύτους,
Κλειώτ', Εὐτέρπη τε, Θάλειά τε, Μελπομένη τε,
Τερψιχόρη τ', Ἐρατώ τε, Πολύμνια τ', Οὐρανίη τε,
Καλλιόπη σὺν μητρὶ καὶ δυνατῇ θεᾷ ἁγνῇ.
Ἀλλὰ μόλοιτε θεαὶ μύσταις πολυποίκιλοι ἁγναὶ,
Εὔκλειαν ζῆλόν τ' ἐρατὸν πολύϋμνον ἄγουσαι.

ΜΝΗΜΟΣΥ'ΝΗΣ θυμίαμα, λίβανον.

ΜΝΗΜΟΣΥ'ΝΗΝ καλέω Ζηνὸς σύλλεκτρον ἄνασ- (σαν,
Ἡ Μούσας τέκνωσ' ἱερὰς ὁσίας λιγυφώνους,
Ἐκτὸς ἐοῦσα κακῆς μνήμης βλαψίφρονος αἰεί·
Πάντα νόον συνέχουσα βροτῶν ψυχαῖσι σύνοικον,
Εὐδύνατον, κρατερόν· θνητῶν αὔξουσα λογισμὸν,
Ἡδυτάτη, φιλάγρυπνος· ὑπομνήσκουσα τὰ πάντα
Ὧν ἂν ἕκαστος ἀεὶ στέρνοις γνώμην κατάθηται.
Οὐκ παρεκβαίνουσ', ἐπεγείρουσα φρένα πᾶσιν.

Ἀλλὰ

Servantemque tuos terraque marique ministros,
Namque vagis ratibus sub tempestate sonora
Sospes ades, & te cupidis mortalibus offers
Avertens sævas iras per cærula ponti.

DIVARUM CAMENARUM *suffimen, tus.*

MAMMURIÆ atque Jovis streperi prognata propages,
Illustres celebresque Novensidesque Camenæ:
Et quoivis, quemcunque fovetis amabile volgus,
Artitas omnes virtutes progenerantes,
Nutrices animi, directæ mentis amussis,
Atque magistræ animi moderantes recta guberna.
Quæque sacris homines imbutos instituistis:
Flora, Cluacina, & Vitula, & Casmena virago:
Cæliaque, & Tripuda, & Carmenta, & diva Venustas,
Oscina, flexanima, & mater Majestaque princeps.
Ergo Deæ huc age præstitibus ventate faventes,
Vobiscum decus omnipotens & adoream agentes.

DIVÆ MAMMURIÆ *suffimen, tus.*

MAMMURIAM elicio Jovis omnipotenti' maritam,
Quæque pias est duciloquasque enixa Camenas,
Pestifera, versata caducæ oblivia mentis,
Continuans mentes animarum fædere sacro,
Reginæ omniparæ rationis amica, fovens vim,
Pervigil, irrequies, memoranter cuncta ministrans;
Quorum quisque simul in pectore ruminat artem,
Nec quid præteriens instigans lumina mentis.

Ἀλλὰ μάκαιρα θεὰ μύσταις μνήμην ἐπέγειρε
Εὐιέρου τελετῆς, λήθην δ' ἀπὸ τῶν ἀπόπεμπε.

ΗΟΥΣ θυμίαμα, μάνναν.

ΚΛΥΘΙ θεὰ θνητοῖς φαεσίμβροτον ἦμαρ ἄγουσα,
Ἠὼς λαμπροφαὴς, ἐρυθαινομένη κατὰ κόσμον,
Ἀγγελίεια θεοῦ Τιτᾶνος ἁγνοῦ μεγάλοιο,
Ἣ νυκτὸς ζοφερήν τε κελαινόχρωτα πορείην
Ἀντολίαις ταῖς σαῖς πέμπεις ὑπὸ νέρτερα γαίης.
Ἔργων ἡγήτειρα, βίου προπόλε θνητοῖσιν·
Ἣ χαίρει θνητῶν μερόπων γένος· οὐδέ τις ἐστὶν
Ὃς φεύγει τὴν σὴν ὄψιν καθυπέρτερον οὖσαν,
Ἡνίκα τὸν γλυκὺν ὕπνον ἀπὸ βλεφάρων ἀποσείσῃς,
Πᾶς δὲ βροτὸς γήθει, πᾶν ἑρπετὸν, ἄλλα τε φῦλα
Τετραπόδων πτηνῶν τε καὶ εἰναλίων πολυεθνῶν.
Πάντα γὰρ ἐργάσιμον βίοτον θνητοῖσι πορίζεις.
Ἀλλὰ μάκαιρ' ἁγνὴ μύσταις ἱερὸν φάος αὔξοις.

ΘΕΜΙΔΟΣ θυμίαμα, λίβανον.

ΟΥΡΑΝΟΠΑΙΔ' ἁγνὴν καλέω Θέμιν εὐπατέρειαν,
Γαίης τὸ βλάστημα νέον, καλυκώπιδα κούρην,
Ἣ πρώτη κατέδειξε βροτοῖς μαντήιον ἁγνὸν
Δελφικῷ ἐν κευθμῶνι, θεμιστεύουσα θεοῖσι,
Πυθίῳ ἐν δαπέδῳ, ὅθι Πυθοῖ ἐμβασίλευεν.
Ἣ καὶ Φοῖβον ἄνακτα θεμιστοσύνας ἐδίδαξε.
Πάντιμ', ἀγλαόμορφε, σεβάσμιε, νυκτιπόλευτε.
Πρώτη γὰρ τελετὰς ἁγίας θνητοῖς ἀνέφηνας,
Βακχιακὰς ἀνὰ νύκτας ἐπευάζουσα ἄνακτα·

Ἐκ

Præstitibus memores mentes da dia Moneta
Sacrati castus, pellens oblivia ab illis.

DIVÆ MATUTÆ *suffimen, manna.*

CEDE *Dea, aurigans candens mortalibu' lumen;*
Clara, pudoricolor, mundo Matuta refulgens,
Aurea magnanimi Titani nuntia Solis:
Horriferæ quæ itiner anfractaque noctis opaca
Diva tuo revocas initu sub viscera terræ:
Dux operum, vitæ mortalibu' Dia ministra:
Quaque hominum gaudent ægerrima secla, nec ullus
Quem fugisse tuos fas sit polcerrima voltus,
Quando genis exterges otium amabile somni,
Tunc gaudent homines, serpentes, cetera secla,
Quadrupedum, & volucrum, & stabulantum in fluctibu' salsis.
Namque omnem excultum donas mortalibu' victum.
Sed tu Dia antistitibus sacrum jubar auge.

DIVÆ JURITIS *suffimen, tus.*

CÆLIGENA *huc Juritis ades patrima virago;*
Mustea progenies telluris, Cæsia dia,
Vaticinas quæ prima aperis mortalibu' sortes
Delphorum Diis pro cortina oracula fatans;
Puticulis ubi Puteolis regina cluebas:
Et Februo fandi donasti pectus habere:
Augusta, speciosa, verendaque, noctuvolga:
Prima etenim ritus hominum genus edocuisti,
Nocturnis sacris Brumum fanatica ovando.

Ἐκ σέο γὰρ τιμαὶ μακάρων μυστήριά θ' ἁγνά.
Ἀλλὰ μάκαρ ἔλθοις κεχαρημένη εὔφρονι βουλῇ
Εὐΐερους ἐπὶ μυστιπόλους τελετὰς σέο κούρη.

ΒΟΡΕΟΥ θυμίαμα, λίβανον.

ΧΕΙΜΕΡΙΟΙΣ αὔραισι δονῶν βαθὺν ἠέρα κόσμου,
Κρυμοπαγὴς Βορέα χιονώδεος ἔλθ' ἀπὸ Θρᾴκης·
Λῦέ τε παννέφελον στάσιν ἠέρος ὑγροκελεύθου,
Ἰκμάσι ῥιπίζων νοτερὲς ὀμβρηγενὲς ὕδωρ,
Αἴθρια πάντα τιθείς, θαλερόμματον αἰθέρα τεύχων.

ΖΕΦΥΡΟΥ θυμίαμα, λίβανον.

ΑΥΡΑΙ ποντογενεῖς Ζεφυρίτιδες, ἠεροφοῖται,
Ἡδύπνοοι, ψιθυραί, καμάτου ἀνάπαυσιν ἔχουσαι,
Εἰαριναί, λειμωνιάδες, πεποθημέναι ὅρμοις,
Σύρουσαι ναυσὶ τρυφερὸν πορὸν ἠέρα κοῦφον,
Ἔλθοιτ' εὐμενέουσαι ἐπιπνείουσαι ἀμεμφεῖς,
Ἠέριαι, ἀφανεῖς, κουφόπτεροι, ἀερόμορφοι.

ΝΟΤΟΥ θυμίαμα, λίβανον.

ΛΑΙΨΗΡΟΝ πήδημα δι' ἠέρος ὑγροπόρευτον
Ὠκείαις πτερύγεσσι δονούμενον ἔνθα καὶ ἔνθα,
Ἔλθοις σὺν νεφέλαις νοτίαις ὄμβροιο γενάρχα.
Τοῦτο γὰρ ἐκ Διός ἐστι σέθεν γέρας ἠερόφοιτον,
Ὀμβροτόκους νεφέλας ἐξ ἠέρος εἰς χθόνα πέμπειν.
Τοιγάρ τοι λιτόμεσθα μάκαρ ἱεροῖς χαρέντα
Πέμπειν καρποτρόφους ὄμβρους ἐπὶ μητέρα γαῖαν.

Ex te enim castusque Deûm cultusque verendi.
Huc adsis, huc, Diva, faventi numine blanda,
Ad divina tui veneranda silentia sacri.

AQUILONIS *suffimen, tus.*

HORRIFERIS *flabris contorquens æquora cœli;*
Huc Aquilo glaciali', relinquens ninguida Thracæ:
Solve Covi subices, nigrantes nubibu' totis,
Flamine discutiens prægnantes imbribu' nubes,
Omnia suda ferens, tergens freta vitrea cœli.

FAVONII *suffimen, tus.*

CÆLIVAGA, *undigena flabella, Favoniæ auræ;*
O levisomne animæ solamen mite laborum,
Vernæ, gramineæ, portuum cupidissima cura,
Navibu' sternentes itiner molle aëra blandum;
Obsecro vos placido spirantes flamine adeste,
Aëriæ, invisæ, levipennes, aëriformes.

AUSTRI *suffimen, tus.*

PRÆCIPITES *auræ, tranantes aëri, caulas,*
Undique pennipedes, vortigine, præpete ovantes.
Cedite nimborum matres cum ingentibu' nimbis.
Nam Jovis has vobis finivit in aëre partes,
Cælitus imbriparas nubes permittere ad ima.
Vos precor inferio hoc mactans libamine Divæ,
Terre matri frugiparentes elicere imbres.

82 ὨΚΕΑΝΟΥ θυμίαμα, ἀρώματα.

Ὠκεανὸν καλέω, πατέρ' ἄφθιτον αἰὲν ἐόντα,
Ἀθανάτων τε θεῶν γένεσιν θνητῶν τ' ἀνθρώπων,
Ὃς περικυμαίνει γαίης περιτέρμονα κύκλον.
Ἐξ οὗ περ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα,
Καὶ χθόνιοι γαίης πηγόρρυτοι ἰκμάδες ἁγναί.
Κλῦθι μάκαρ πολύολβε, θεῶν ἅγνισμα μέγιστον,
Τέρμα φίλον γαίης, ἀρχὴ πόλου, ὑγροκέλευθε·
Ἔλθοις εὐμενέων μύσταις κεχαρισμένος αἰεί.

83 ἙΣΤΙΑΣ θυμίαμα, ἀρώματα.

Ἑστία εὐδυνάτοιο Κρόνου θύγατερ βασίλεια.
Ἣ μέσον οἶκον ἔχεις πυρὸς ἀενάοιο μεγίστου,
Τοὺς δὲ σὺ ἐν τελεταῖς ὁσίους μύστας ἀναδείξαις,
Θεῖσα ἀειθαλέας, πολυόλβους, εὔφρονας, ἁγνούς,
Οἱ καὶ θεῶν μακάρων θνητῶν στήριγμα κραταιόν.
Ἀΐδιε, πολύμορφε, ποθεινοτάτη, χλοόμορφε,
Μειδιόωσα, μάκαιρα, τάδ' ἱερὰ δέξο προθύμως,
Ὄλβον ἐπιπνείουσα καὶ ἠπιόχειρον ὑγείαν.

84 ὙΠΝΟΥ θυμίαμα, μετὰ μήκωνος·

Ὕπνε, ἄναξ μακάρων πάντων θνητῶν τ' ἀνθρώπων,
Καὶ πάντων ζώων ὁπόσα τρέφει εὐρεῖα χθών·
Πάντων γὰρ κρατέεις μοῦνος, καὶ πᾶσι προσέρχῃ
Σώματα δεσμεύων ἐν ἀχαλκεύτοισι πέδῃσι·
Λυσιμέριμνε, κόπων ἡδεῖαν ἔχων ἀνάπαυσιν,
Καὶ πάσης λύπης ἱερὸν παραμύθιον ἔρδων.
Καὶ θανάτου μελέτην ἐπάγεις, ψυχὰς διασώζων.
Αὐτοκασίγνητος γὰρ ἔφυς Λήθης Θανάτου τε·

Ἀλλὰ

+ lege Ἡ ∧ τε

OCEANI *suffimen, aromata.*

TE *veneror pater Oceane, immortalis origo,*
Naturæque Deûm æternæ, & mortalium homonum;
Qui circumfluis anfracta ambarvalia terræ,
Unde genus fluviorum, unde & salimarmoris undæ
Atque alid in terra scatebrarum ignobile volgus,
Te Februum lustrale vocamus Cæligenarum,
Finis telluris, margo amplæ fornici', mundi,
Huc placidus venias sacræ gratissime turbæ.

VESTÆ *suffimen, aromata.*

INCLUTA *Vesta, senis Saturni casta propago;*
Quæ nimis irrequietis habes meditullia flammæ,
Hosce tibi puros præstes ad sacra ministros,
Florentes, dites, castosque, & pectore puro.
Huc ades ô Divum constans fulmentum hominumque.
Multipotens, æterna, & amabilis, atque opiformis,
Ridens atque beata, fave placidissima sacris,
Fausta bona inspirans, & amœnæ dona salutis.

SOMNI *suffimen, cum papavere.*

SOMNE *pater, Divûm omnigenum unicus atque hominum rex,*
Et quæcunque fovet tellus animantia secla:
Omnibus unus enim regnas atque omnibus adstas,
Corporaque insidiator inermi compede vincis:
Curarum domitor, requies præblanda laborum,
Mœrores omnes ægro de pectore tergens.
Qui mortis curas abigis animasque reservas:
Nam vere mortis germanus es atque veterni.

Ἀλλὰ μάκαρ λίτομαί σε κεκασμένον ἡδὺ ἱκάνειν.
Σώζον τ' εὐμενέως μύστας θείοισιν ἐπ' ἔργοις.

ὈΝΕΙ'ΡΟΥ θυμίαμα, ἀρώματα.

ΚΙΚΛΗ'ΣΚΩ σε μάκαρ τανυσίπτερε οὖλε ὄνειρε,
Ἄγγελε μελλόντων, θνητοῖς χρησμῳδὲ μέγιστε.
Ἡσυχίᾳ γὰρ ὕπνου γλυκεροῦ σιγηλὸς ἐπελθὼν,
Προσφωνῶν ψυχαῖς θνητῶν, νόον αὐτὸς ἐγείρεις,
Καὶ γνώμας μακάρων αὐτὸς καθ' ὕπνους ὑποπέμπεις,
Σιγῶν σιγώσαις ψυχαῖς μέλλοντα προφωνῶν,
Οἷσιν ἐπ' εὐσεβίῃσι θεῶν νόος ἐσθλὸς ὁδεύει.
Ὡς ἂν ἀεὶ τὸ καλὸν μᾶλλον γνώμῃσι προληφθὲν,
Τερπωλαῖς ὑπάγῃ βίον ἀνθρώπων προχαρέντων,
Τῶν δὲ κακῶν ἀνάπαυλαν, ὅπως θεὸς αὐτὸς ἐνίσπῃ,
Εὐχωλαῖς θυσίαις τε χόλον λύσωσιν ἀνάκτων.
Εὐσεβέσιν γὰρ ἀεὶ τὸ τέλος γλυκερώτερόν ἐστι,
Τοῖς δὲ κακοῖς οὐδὲν φαίνει μέλλουσαν ἀνάγκην
Ὄψις ὀνειρήεσσα, κακῶν ἐξάγγελος ἔργων,
Ὄφρα ἂν εὕρωνται λύσιν ἄλγεος ἐρχομένοιο.
Ἀλλὰ μάκαρ λίτομαί σε θεῶν μηνύματα φράζειν,
Ὡς ἂν ἀεὶ γνώμαις ὀρθαῖς κατὰ πάντα πελάζῃς,
Μηδὲν ἐπ' ἀλλοκότοισι κακῶν σημεῖα προφαίνων.

ΘΑΝΑ'ΤΟΥ θυμίαμα, μάνναν.

ΚΛΥ͂ΘΙ' μευ ὃς πάντων θνητῶν οἴηκα κρατύνεις,
Πᾶσι διδοὺς χρόνον ἁγνὸν, ὅσων πόρρωθεν ὑπάρχεις.
Σὸς γὰρ ὕπνος ψυχὴν θραύει καὶ σώματος ὁλκὸν,
Ἡνίκ' ἂν ἐκλύῃς φύσεως κεκρατημένα δεσμὰ,
Τὸν μακρὸν ζωοῖσι φέρων αἰώνιον ὕπνον.
Κοινὸς μὲν πάντων, ἄδικος δ' ἐνίοισιν ὑπάρχων,

Ἐν

Sed sub te placo miti adventare favore,
Servantem placidi nos sacrum ritum obeuntes.

SOMNII *suffimen, aromata.*

OBSECRO *te, princeps, celerem pernicibus alis,*
Nuncius incerti, verax Carmentus homonum,
Nam repens tacitus per amica silentia somni,
Insinuansque animis hominum cis intima mentis,
Et scita ad somnos legas decreta deorum,
Significans tacitus tacitis animabu' futura,
Cum quis rite colit divos in pectore puro.
Semper ut anticipans spem blandam mente sagaci,
Vitam hominum illecebris prolectes, gaudia hiantum,
Utque homines animum requiescant tristibu' curis,
Suppliciisque deos ex sacro munere placent.
Namque piis semper stat dulcior exita finis,
Tantum celavit venientia fata nefastos
Somnigena species, certissima nuntia damni.
Ne qua foret noxæ venientis cognita finis.
Clinia sed te sancte precor, præmonstra Deorum
Notifices, semperque offendens pectora pura,
Nunquam prodigiis acelarans omina iniqua.

MORTIS *suffimen, manna.*

HUC *adsis, quæ hominum moliris cuncta guberna,*
Tantum producens ævi quantum eminus distas.
Namque tuo exstinguis corpus animamque sopore,
Quando perrumpis naturæ vivida claustra,
Cæca hominum signans æterno lumina somno.
Omnibu' communis, aliis injuria partim,

Ἐν ταχυτῆτι βίου παύων νεοήλικας ἀκμάς.
Ἐν σοὶ γὰρ μούνῳ πάντων τὸ κριθὲν τελεῖται·
Οὔτε γὰρ εὐχαῖς σὺν πείθῃ μῦθος οὔτε λιτῇσιν.
Ἀλλὰ μάκαρ μακροῖσι χρόνοις ζώης γε πελάζειν
Αἰτοῦμαι, θυσίαις καὶ εὐχωλαῖς λιτανεύων,
Ὡς ἂν ἔοι γέρας ἐσθλὸν ἐν ἀνθρώποισι τὸ γῆρας.

ΤΕΛΟΣ.

Florentes ſtinguens ætates funere acerbo.
Omnia nam concreta in te ſola abſolüuntur :
Nam neque ſuppliciis , neque votis pectora frangis.
Quare ô ſancta veni , longo poſt tempore vitæ ,
Quod te ſuppliciis & votis obteſtamur ,
Ut felicem habeant homines claramque ſenectam.

Vertebat Joſ. Scal. intra quinque dierum ſpatium.

Ἐις τὸ ἑξῆς Ποίημα·

ΟΡΦΕΩΣ

ΠΕΡΙ ΛΙΘΩΝ

ὑπόθεσις.

Δημητρίου τοῦ Μόσχου.

Θειοδάμαντι τῷ Πριάμου συνήντησεν Ὀρφεὺς μετὰ τῶν ἑταίρων τινῶν πρὸς θυσίαν ἡλίου, ἣν ἐτέλει καθ' ἔτος, εἰς ὄρος ἀνερχόμενος· καὶ αὐτῷ τῆς νενομισμένης ταύτης ἐτησίου θυσίας τὴν αἰτίαν ἀφηγεῖται, λέγων ὑπὸ δράκοντος αὐτὸν παῖδα ὄντα ποτὲ ἀναιρεθῆναι κινδυνεύοντα, καταφυγεῖν εἰς τὸ ἐκεῖ που πλησίον ἱερὸν τοῦ Ἡλίου· ὑφ' οὗ καὶ σωθέντα ὡς ὁ πατὴρ περιεποιήσατο, τῆς τοῦ παιδὸς σωτηρίας καθ' ἔτος ἦγεν Ἡλίῳ θύματα. μεταστάντος δὲ ἐκείνου τῶν ἐνθεῦθεν, αὐτὸς Ὀρφεὺς ἀντὶ τοῦ πατρὸς τῆς τοιαύτης θυσίας καθίσταται διάδοχος· ἣν νῦν ἀφοσιούμενος ἄνεισι, συμπαραλαβὼν καὶ Θειοδάμαντα· οὗτος δὲ καθ' ὁδὸν τῷ ποιητῇ περὶ δυνάμεώς τε λίθων καὶ χρήσεως διεξέρχεται, οἵτινες αὐτῶν χρήσιμοι πρὸς τῶν θυόντων κρατούμενοι, ὅπως αὐτοῖς τὰ τῶν εὐχῶν ἐξανύοιτο, καὶ οἱ πρὸς τὰς ἰοβόλους τῶν δήξεων θεραπείας. ὅθεν οἶμαι καὶ Νίκανδρος ὁ Κολοφώνιος ὕστερον ὁρμηθεὶς συνέγραψε τὰ θηριακά.

In ſequens Poëma

ORPHEI

DE LAPIDIBUS

Argumentum

Demetrii Moſchi.

THeodamanti, Priami filio, obviam venit Orpheus; cum familiaribus aliquibus ad ſacrificium, quod ſingulis annis Soli peragebat, in montem adſcendens, eique inſtituti annui ſacrificii cauſſam explicat, dicens: ſibi, cùm adhuc puer eſſet, maximum aliquando periculum imminuiſſe à dracone quodam, & parum abfuiſſe quin ab eo interfectus fuerit; ſe autem confugiſſe ad haud longe inde diſtantem aram Solis. Cujus ope, cùm liberatum ſe pater intellexisſet, ſingulis annis ingratiam filii ſervati, Soli ſacra ad illam aram fecit. Cùm autem pater ejus ex hac vita migrasſet, ipſe Orpheus patri in peragendo hoc ſacro ſuccedit; quod & nunc ſoluturus, in montem aſcendit, abducens ſecum Theodamantem. Hic verò in itinere de viribus lapidum eorumque uſu ſermonem facit, quorum quidam ſacra facientibus, ſi illos ſecum habeant, hoc conferunt, ut votis fruantur, quidam verò contra venenatos morſus medelam afferunt. Unde, arbitror, etiam Nicander Colophonius motus, poſteà Theriaca compoſuit.

EJUS-

ΤΟΥ ΑΥΤΟΥ.

Ἰστέον δὲ ὡς δύο τινὰ προοίμια τοῦ παρόντος προτίθεται ποιήματος· ἐν μὲν τῷ πρώτῳ αὐτήν τε τὴν ἀρετὴν καὶ σοφίαν ἅπασαν ἐξυμνῶν, καὶ τοὺς πάλαι τῶν ἡρώων κατ' αὐτὴν γενομένους ἐνδόξους, καὶ ἰσοθέους νομισθέντας, ὧν καὶ μητέρα τὴν ἀρετὴν προσείρηκεν· ἐν ταυτῷ δὲ καὶ τῶν ἰδιωτῶν καθάπτεται, ὡς ἐπιφθόνως ἐχόντων πρὸς τοὺς τὴν ἀρετὴν διώκοντας, καὶ τούτοις ἀεὶ φιλαπεχθημόνως ἐπικειμένων· ἐν θατέρῳ δὲ ὁ πρὸς αὐτὸν καὶ Θειοδάμαντα γράφεται διάλογος.

ΟΡΦΕΩΣ

ΠΕΡΙ ΛΙΘΩΝ

Προοίμιον.

Δῶρον ἀλεξικάκοιο Διὸς θνητοῖσιν ὀπάσσαι
Κεκλόμενος Μαίης ἐριούνιος ἦλθε κομίζων
Υἱὸς, ὅπως ἀνέχωμεν ὀϊζύος ἀτρεκὲς ἄλκαρ.
Γηθόσυνοι δέχνυσθε βροτοί. πινυτοῖσιν ἐνίσπω,
Οἷς ἀγαθὴ κραδίη, καὶ πείθεται ἀθανάτοισιν·
Νηπιύοισι δ' ὄνειαρ ἀκήρατον οὐ θέμις εὑρεῖν.
Τῷ δ' αὐτῷ καὶ πρόσθεν ἀγαλλόμενος ἐπὶ δώρῳ
Υἱά τε Λητοΐδης ἀκεσίμβροτον ἀθανάτοισιν
Ἶξεν ἄγων ἐς ὄλυμπον ἀγάννιφον, ἠδὲ σαόφρων
Παλλὰς Ἀθηναίη λαοσσόον Ἡρακλῆα·

Ἀλτο

Τιμοκλέους τοῦ Συρακουσίου
λέγεται ... Ὀρφέως

EJUSDEM.

Sciendum autem duo Procemia auctorem præmisisse huic poëmati. In primo quidem virtutem ipsam & omnem sapientiam carmine celebrat, & antiquos Heroes propter illam in precio habitos, Diisque æquales æstimatos fuisse dicit, quorum etiam matrem Virtutem vocat. in eodemque graviter invehit in vulgus, quod invidia prosequatur eos qui virtutem sectantur, & hostiliter in eos affectum sit. In secundo verò describuntur colloquia, quæ sibi cum Theodamante intercesserunt.

ORPHEI

DE LAPIDIBUS.

Procemium.

Donum malorum depulsoris Jovis hominibus afferre
Jussus Majæ filius valdè utilis advenit, apportans illud,
Ut haberemus contra ærumnas exploratum auxilium.
Læti hoc recipite mortales. Prudentes alloquor,
Quorum animus est integer, & immortalibus obtemperat:
Insanis verò auxilium integrum reperiri non potest.
Hoc autem ipso, & olim delectatus dono,
Filium, Latonæ filius, homines sanantem, ad Deos
Perduxit in Olympum nivosum, & prudens
Pallas Minerva bellicosum Herculem:

Transi-

Ἄλτο δὲ καὶ Κρονίδης κυανὸν ὑπὲρ αἰθέρα Χείρων,
Σευάμενος πρὸς ὄλυμπον, ἐπεὶ μάθεν ἄμβροτα δῶρα.
Ἀλλ' ἤτοι κείνους μὲν ἀμώμητοι Διὸς οἶκοι
Χαίροντας δέξαντο, θεηγενέων ὄχ' ἀρίστους·
Ἡμῖν δ' ἐν γαίῃ κέλεται Χρυσόρραπις ὄλβῳ
Ζώειν τερπομένοισιν, ἀπειρήτοις κακότητος·
Ὃν δέ κεν ἀνθρώπων πεπνυμένον ἦτορ ἀνώγῃ·
Ἐς πολυήρατον ἄντρον ἐπελθέμεν Ἑρμείαο,
Ἔνθ' ὅγε παντοίων ἀγαθῶν κατέθηκεν ὅμιλον,
Αἶψά κεν ἀμφοτέρῃσιν ὀνείατα πολλὰ κομίζων
Οἴκαδ' ἀποστείχοι, προφυγὼν πολύδακρυν ὀϊζύν.
Οὐδέ ἑ νοῦσος ἄκικις ἐνὶ μεγάροισι δαμάσσει,
Οὐδ' ὅγε δυσμενέων ποθ' ὑποτρέσσας μένος αἰνὸν
Ἂψ ἀναχωρήσει, προλιπὼν ἐρικυδέα νίκην·
Οὐδέ οἱ ἀθλητῆρα κονισαμένῳ ἐν ἀγῶνι
Ἀντιβίην τινὰ θυμὸς ἐφορμήσει μενεαίνειν,
Οὐδ' εἰ χάλκεα γυῖα καὶ ἄγναμπτος σθένος ἀνὴρ
Ἀντικρὺς στεφάνοιο πόθῳ κομίσας ἐλδαίνοι·
Ναί μιν καὶ θήρεσσιν ὀρεσκῴοισι λέοντα
Δεινὸν καὶ λαοῖσιν, ἐοικότα δαίμονι τεύξω.
Καί οἱ καὶ βασιλεῦσι διοτρεφέεσσιν ὀπάσσω
Ῥεῖα καὶ ἀλλοδαποῖσι μετ' ἀνθρώποισι πίεσθαι·
Τὸν δὲ καὶ ἠΐθεοι τερενόχροες ἱμερτῇσιν
Αἰὲν ἐφορμήσουσι περιπτύσσειν παλάμῃσι.
Καὶ μαλακὴ χρύσειον ἐπὶ λέχος αἰὲν ἐρύσσει
Ἄληκτον κούρη, ἐπιϊεμένη φιλότητος.
Εὐχομένου τε πρὸς οὖατ' ἀφίξεται αἰὲν ἐόντων
Εὐχή· καὶ πόντοιο κυκωμένου οὐκ ἀλεγίζων,
Βήσετ' ἐπὶ τραφερὴν ἀκυμάντοισι πόδεσσι.
Τὸν καὶ ληϊστῆρες ἀνάρσιοι οἰονεόντα

Transiliit verò etiam Saturnius, extensum super Æthera Chi-
Irumens in Olympum, eò quod didicit divina medendi (ron,
Et sanè eos inculpatæ Jovis ædes (munera.
Gaudentes exceperunt, optimam Deorum sobolem.
Nos verò in terris jubet Mercurius, bonis
Vivere lætos, inexpertes malitiæ.
Cui verò hominum prudentum arridet
In valde delectabile antrum Mercurii descendere,
In quo omnium bonorum copiam deposuit,
Statim ambabus ut manibus innumera reportans munera
Domum discedat, effugiens lacrymabiles ærumnas:
Eum neque morbus vehemens domi conficiet,
Neque, inimicorum subterfugiens gravem iram,
Domum redibit exutus læta victoria.
Neque contra ipsum certantem, in pulverulento certamine,
Hostem quendam animus stimulabit insurgere,
Neque si aheneorum membrorum & inflexibilis roboris vir
Contra ipsum, coronæ desiderio latus, certare audebit. (esset,
Profecto ipsum & feris montanis leonem
Timendum & populis dæmoni similem faciam.
Et ipsum tàm regibus Jove educatis,
Quam aliis hominibus facilè faciam venerabilem.
Illum etiam juvenes teneri, cum desiderio
Semper certabunt amplecti ulnis,
Et mollis aureum ad lectum sollicitabit
Assiduè puella amore flagrans.
Cumque preces fuderit, ad aures deferentur immortalium
Ejus vota. Et turbulentum pontum despiciens,
Incedet per continentem inoffensis pedibus.
Illum etiam prædones implacabiles, vel solum iter facientem

Eu-

Φεύξονται· καὶ δμῶες, οἰόμενοι πατέρ' εἶναι,
Τίσουσι, καὶ οἶκον ἑοῦ στέρξουσιν ἄνακτος.
Ἴδμεναι αἴκε θέλησι, δαήσεται ὅσσά τε φῶτες
Κρυπτάδια σφετέρῃσιν ἐνὶ φρεσὶ μηχανόωνται,
Ὅσσά τε κεκλήγασι μετὰ φρεσὶν ἠεροφοῖται,
Ἀνθρώποις ἄφραστον ἰακχάζοντες ἀοιδήν,
Οἰωνοί, μεγάλοιο Διὸς κραιπνοὶ ὑποφῆται
Ῥοῖζόν τε στήσει χαμαὶ ἐρχομένοιο δράκοντος.
Εἴσεται ἠδ' ὄφεων ἰὸν σβέσαι ἑρπυστήρων.
Δώσω οἱ καὶ φῶτα ῥοπῇ πίπτοντα σελήνης
Ῥύσασθαι, καὶ νοῦσον ἀταρτηρὴν ἐλέφαντος.
Καὶ ψυχὴν ἐλάσει τεθνειότος, αἴκεν ἐρεμνοῦ
Ἐξ ἀΐδος προμολοῦσα ποτιχρίμπτοιτο ἑκάστῳ,
Ἄλλαι ἀπειρέσιοι πολυμήλου ἑρμείαο
Δωῖναι κομίσαντος ἐνὶ σπήλυγγι νέονται,
Ἄμβροτοι, ἀτρεκέες, ῥίμφα προήσουσι ἕκαστα·
Τάων ἡμίθεός τε καὶ ὄλβιος ὅς τ' ἀφίκηται·
Τὰς ἐμὲ κηρύσσειν λαοσσόος Ἀργειφόντης
Ἀνθρώποισιν ὄρινε, μελιγλώσσοιο κελεύσας
Φθόγγον ἀπὸ στήθεσφιν ἀοιδοῦ γηρύσασθαι·
Ἀλλ' οὐ πάγχυ βροτοῖσι σαοφροσύνης ἀλεγίζειν
Ἵμερος, αἶψα δὲ πρέσβαν δαημοσύνην ἀτίουσιν·
Μητέρα δ' ἡρώων ἀρετὴν ἀπάτερθε κλύοντες
Προτροπάδην φεύγουσιν, ἀοσσητῆρα δὲ μόχθων
Μόχθον ἀοσσητῆρα βίου μάλα πεφρίκασιν.
Οὐδέ σφι κρείων ἐνὶ δώμασιν ὄλβος ὁμιλεῖ,
Οὐδέτις οἶδε θεοῖς ὀπιζόμενος ἀθανάτοισι·
Ἐκ δ' οἵγε πολίων τε καὶ ἀνδρῶν ἤλασαν ἐσθλὴν
(Ἃ δειλοὶ) σοφίην, ἐλεύνιον ὑβρίζοντες.
Ὤλετο δὲ προτέροις πεπονημένος ἡμιθέοισιν·

Ἔργον

Fugient, & famuli, tanquam patrem suum
Colent, adesque sui diligent domini.
Scire quando desiderabit, sciet quæcunque homines
Occulta in mentibus suis machinantur,
Et quæcunque clangent non sine ratione aërivagæ,
Hominibus occultam resonantes vocem
Aves, magni Jovis veloces vates;
Impetumque cohibere humi reptantis draconis
Noverit, & serpentum exstinguere jacula reptilium.
Dabo ipsi, & hominem lunatico morbo correptum
Sanare, & pestilentem elephanticum morbum.
Et animam arcere mortui, si quando nigro
Ex erebo egressa, appropinquat omnibus hominibus.
Alia præterea innumera dona multi consilii Mercurii,
Ad distribuendum apportata, in antro jacent,
Divina, certa, & quæ properè singula peragunt.
Semideus est & beatus, quicunque ad ea perveniet.
Quæ ut ego annunciem hominibus, bellicosus
Argicida incitavit, dulcisoni jubens
Cantoris vocem è præcordiis modulari:
Verùm nulla prorsus hominibus prudentiam curandi
Est cupido, sed statim venerandam scientiam contemnunt.
Matrem verò Heroum, Virtutem, vel è longinquo audientes,
Citato cursu fugiunt. Auxiliatorem adeo laborum
Simulque laborem ipsum, auxiliatorem vitæ, valde exhorrent.
Neque ipsis meliores domi divitiæ sunt,
Neque quisquam illorum scit Deos curare immortales.
Illi verò tam ex urbibus quàm hominibus expulerunt bonam
(Ah miseri) Sapientiam, Mercurium contumeliosè spernentes.
Periit verò qui olim cum semideis versatus est.

Ἔργον δ' ἀργαλέος καὶ ἀπεχθὴς αὐτίκα πᾶσιν
Δῶκεν, ἐπωνυμίην λαοὶ τεύξουσι μάγοιο.
Καί κεν ὁ μὲν κονίαισιν ὑπ' ἄορι κρατὸς ἀπενθὴς
Ἀζαλέῳ θανάτῳ δῖος φῶς ἐκπετάνυσται.
Οἱ δ' ἴκελοι θήρεσσιν, ἄιδριες, οἱ δ' ἀδίδακτοι,
Χήτει δαιμονίοιο νοήματος, οὔθ' ὑπ' ἀρωγὴν
Θεσπεσίην φυγέτην φαεσίμβροτον ἐκ κακότητος,
Οὔτέ τι θέσκελον ἔργον, ὅκεν μάλα θαυμάζοιντο,
Ἴσασ'. ἀλλά σφιν νεφέλη πραπίδεσσι κελαινὴ
Ἀμφιπεριπλασθεῖσα, βαδιζέμεν ἀνθεμόεντα
Εἰς ἀρετῆς λειμῶνα πολυστέφανόν τε μεγαίρει·
Ἀλλ' ἐμ' ὑπισχνοῦμαι κειμήλια πειθομένοισι
Ἀφνειοῦ χρυσοῖο πολὺ προφερέστερα δείξειν.
Φῶτα δ' ἢ δίζηται ταλακάρδιον, ὅς κεν ἑκάστου
Ἐμμεμαὼς πειρῷτο μενοινῆσαί τε κάμοι τε,
Ὅς τε διδάσκηται, καὶ ὃς εἰδότας ἐξερεείνοι.
Οὐ γὰρ ἄτερ καμάτοιο τέλος μύθοισι καὶ ἔργοις
Εὐρύοπα κρονίδης ἐθέλει δόμεν· ἀλλὰ καὶ αὐτοὶ
Ἐς δύσιν αἰνὰ πονοῦντες ἀν' αἰθέρα λαμπετόωσιν
Ἠέλιον φαέθοντα ἐφ' ἅρματι πῶλοι ἄγουσι.

῾ΥΠΟΘΕΣΙΣ.

Μᾶλλον ἐγὼ πινυτοῖο παραίφασιν ἀνέρος εὑρὼν
Τέρψομαι, ἤπερ χρυσὸν ἁπάντων κοίρανον ἀνδρῶν·
Ἠελίῳ γὰρ ἄγων ἱερήϊον ἀντεβόλησα
Ἀγχόθεν ἄστυ δ' ἰόντι περίφρονι θειοδάμαντι·
Καί μιν ἑλὼν χειρὶ χεῖρα προσηύδων ὧδ' ἐπέεσσι,
Ἐς πόλιν (εἰ μὴ πάμπαν ἐπισπέρχουσιν ἀνάγκαι)
Ῥηϊδίως ὦ ἑταῖρε καὶ αὔεχον ἔσσεθ' ἱκέσθαι·
Νῦν δέ σε μοι στείχοντι μετ' εἰλαπίνην θεὸς αὐτὸς

Laborem verò, difficilis & inimicus, ſtatim omnibus
Dedit, cognomen verò homines dederunt ei Magi.
Et ille quidem in certamine, enſe fortis, nemine lugente eum
Triſti morte, divinus vir, occubuit.
Hi verò ſimiles feris, ignorantes atque indocti
Mentis indigentia divinæ, neque ad conſilium
Divinum, ſplendens mortalibus, fugiunt ex malitia.
Neque divinum aliquod opus, admiratione dignum
Norunt; Sed nubes præcordiis ipſorum atra
Undique circumpoſita, progredi floridum
Virtutis in pratum ſertigerumque invidet.
Aſt ego me polliceor theſaurum obtemperantibus
Divite auro longè præſtantiorem indicaturum.
Requirit autem virum laborioſum, qui ſingula
Promtus experiatur, aveatque laboretque,
Et qui diſcat, & à ſcientibus ſciſcitetur.
Non enim absque labore finem dictis & factis
Altiſonans Jupiter dare vult: ſed etiam ipſi
Ad occaſum anhelantes per æthera ſplendidum
Solem in curru lucentem equi perducunt.

ARGUMENTUM.

M*Agis quidem prudentis viri colloquium nactus*
Delectarer, quàm aurum, omnium rectorem hominum.
Soli enim rem ſacram peracturus, obviam veni
Ex agro in urbem redeunti prudenti Theodamanti:
Et illum, apprehenſa manu, his verbis affatus ſum:
In urbem, (niſi gravis urget neceſſitas)
Facile, o amice, & cras redire poterimus:
Nunc verò te mihi, pergenti ad epulum, Deus ipſe

Ὦρσεν ὑπαντιάσαι· τῷ μοι πρόφρων ὑπόνδυσον
Ἔσπεσθαι. θυσίαι ἱεροπρεπέες τελέθουσιν
Ἃς ἀγαθοὶ ῥέζουσι βροτοί· γάνυται δὲ φίλον κῆρ
Ἀθανάτων ὅτ' ἂν σφι χοροὺς ἀνάγωσιν ἄριστοι·
Ἄξω δ' οὐ μακρὴν ἐς ἀταρπιτόν· εἰσορόας γὰρ
Ἡμετέρων μεκιόντα πρὸς ἄστεος ἀκρώρειαν.
Ἔνθα νεογνὸς ἐὼν ἔτλην ποτὲ μοῦνος ἀνελθεῖν
Λαιψηρὼ πέρδικε μεταστόμενος προφυγόντε.
Οἱ δ' ἤτοι εἵως μὲν ἀκούων οὔνομ' ἕκαστος
Ἱστάμενος μίμνεσκεν, ὀρεξάμενος δὲ δοκοῦσθαι,
Πρὶν μάρψαι χείρεσσιν, ἀλυσκάζων προφύγεσκεν.
Αὐτὰρ ἐγὼ σπουδῇ κεν ἐπὶ στόμα κάππεσον ἐλθών.
Ἂψ δ' αὖθις γαίηθεν ἀναΐξας ἐδίωκον.
Ἀλλ' ὅτε δὴ κορυφήνδε μεταστόμενος κίον ἄκρην,
Οἱ μὲν ἄρ' ἐξαπίνης ἰαχὴν ὀξεῖαν ὁρῶντες
Αἰγανέης, ἔσσυντο θοώτερον ἠὲ βελέμνου,
Ὑψίκομον ποτὶ φηγὸν, ἐπεσσύμενον προϊδόντες
Αἰνὸν ὄφιν, πετάσαντα γένυν πλείω θανάτοιο·
Τὸν δ' ἐγὼ ἐγχριμφθεὶς ὑπεναντίον ἀΐξαντα
Οὐκ ἴδον, ὀφθαλμοὶ δέ μοι ὀρνίθων ἀλάληντο,
Πρὶν περ ἀνασχήσαντος ἀπὸ χθονὸς αὐχένα δεινὴν.
Ἐφρασάμην, ἤδη τε δέμας μεμαῶτα φυλάξαι.
Ἔνθ' εἴτις σπεύδοντα παλίσσυτον εἰσενόησεν,
Οὔτε με περδίκεσσιν ἀελλοπόδεσσιν ἔπεσθαι,
Οὔτε με νηπιάχοισιν ὀΐσαιτο ποσὶ φέρεσθαι.
Κέκλετο γάρ μοι δεῖμα τανύπτερον αἰετὸν εἶναι,
Καὶ πνοιὴν ἀνέμου. περὶ γὰρ ποσὶν κακὸν ἦεν.
Πολλάκι δ' εἵματος ἄκρον ἐπιψαύεσκεν ἀκωκαῖς.
Καί κεν ὑπὲρ μοῖραν με πελώριος ἀμφέχανεν θὴρ,
Εἰ μή μοι νόος ὦρτο θεῶς ἐπὶ βωμὸν ὀροῦσαι,

Τὸν

Occurrere movit: ad quod, promptè annue
Te me ſecuturum. Sacrificia divina peragentur,
Quæ boni viri celebrant. Lætitia verò afficitur cor
Immortalium Deorum, quando quidē ipſis choros ducunt boni.
Non longam te deducam in viam. Vides enim
Euntem me in agrorum noſtrorum montem;
Quo, cùm juvenis eſſem, auſus ſum aliquando ſolus arbire
Velocium par perdicum perſequens quæ mihi aufugerunt
Ex illis verò utraque cum audiviſſet nomen ſuum;
Reſtitit, & vocem agnovit; cùm verò manum extendiſſem in-
Antequam prehendere eas quivi, aufugerunt. (ſidiando,
Aſt ego dedita opera in os me conjiciens,
Rurſusque eveſtigiò ſurgens, illas perſequntus ſum.
Sed poſtquam in ſummum montis verticem perveni,
Illæ ex improviſo ſonum ſtridulum excitantes,
Jaculo citiùs aut telo in ſublime evolarunt,
Altam quandam & frondoſam ad fagum, proruentem videntes
Horrendum ſerpentem, pandentem maxillam pluſquam letha-
Quem ego, appropinquans, è regione deſilientem (lem.
Non vidi; oculi enim mei, avibus intenti, errarunt,
Antequam erigentis ſeſe ex humo, cervicem gravem
Advertiſſem. Et ſanè inſidiari paratus erat.
Unde ſi quis me fugientem retrò vidiſſet,
Neque me perdices, veloces pedibus, ſequi poſſe
Neque me puerilibus putaſſet pedibus ferri.
Juſſit enim me timor velocem aquilam imitari
Et flatum venti. Ante pedes enim pernicies erat.
Sæpè etiam veſtis extremitates lingua attigit,
Et ſano fati meo inhiavit ingens beſtia,
Niſi me animus incitaſſet, celeriter ad aram confugere,

Τόν ῥα παλαιότεροι φαεσιμβρότῳ ἱδρύσαντο.
Τῷ δ᾽ αὖ ἔπι τρύφος αὖον ἐλαϊνέης ἐλέλειπτο
Σχίζης, ἥν τε μαρανθὲν ἀδηφάγον ἐξέλιπεν πῦρ·
Τὴν ἐγὼ ἁρπάξας ὀλοοῦ κατένωπα δράκοντος
Ἐστρέφθην. μαίμησε δ᾽ ὀρεσκῴου μένος αἰνὸν,
Μάρνασθαι μεμαῶτα ἰδών· εἵλυτο δὲ πυκνῶς,
Γνάμπτων εὐκύκλως ταναὴν ῥάχιν· αὐτὰρ ἐπ᾽ ἄλλῳ
Ἄλλος, ἔπειτα δ᾽ ἐπ᾽ ἄλλος ἑλισσομένου τροχὸς ἦεν.
Ἠδ᾽ ἔτι καὶ βωμοῦ ὕπερ αὐχένας ἠέρταζεν.
Συρίζων βοόωντος ἐμῆς πολὺ μεῖζον ἀϋτῆς.
Καὶ τύπτων ἄῤῥηκτον ὀρεσκῴοιο κάρηνον,
Ἀμφ᾽ αὐτῷ θρασύεσκον ὑπέκπυρον ὄζον ἄκικυν·
Οὐ γὰρ μόρσιμος ἦα διαφοινῷ θηρὶ δαμῆναι.
Τοὔνεκεν αἰπολίοισιν ἀπόπροθι βοσκομένοισι
Ἑσπομένω δύο πατρὸς ἐμοῦ κύνε κεκλήγοντα
Γνόντες ἐπεδραμέτην· μάλα γάρ σφισι μείλιχος ἔσκον.
Χ᾽ ὡ μὲν ἄρ᾽ ἔσσυτο τοῖιν, ἐγὼ δ᾽ ἐς γαῖαν ὀρούσας
Προτροπάδην· ὥς τίς τε Διὸς γαμψώνυχα φεύγων
Αἰετὸν ἐν πυκινοῖσι λάοι θάμνοισι λαγωὸς,
Τῷ ἴκελος, μήλοισι μιγεὶς, ὀλοοῦ ὑπὸ θηρὸς
Ἐκρύφθην, μέσσοισιν ἐνιπτύξας ἐρίφοισι·
Ὄφρα μὲν οὖν ἀκάκητα πατὴρ ἐμέθεν ζώεσκεν,
Αἰεὶ μόσχον ἄγεσκεν ἐμὸν πρὸς ἀμιώτορα βωμὸν,
Τίνων ἠελίῳ ζωάγρια παιδὸς ἑοῖο·
Αὐτὰρ ἐγὼν ἀγέληθεν ἐλάσσας πίονα μόσχον
Εἰαρινὸν, θαλέθοντα νεήνιδος οὔθατι μητρὸς,
Ἔρχομαι εἰς ἀκρόρειαν ἄγων χορὸν ἡδὺν ἑταίρων.
Σὺν δέ σφιν καὶ τώδε δρακοντοφόνω κύνε βήτην
Αὐτομάτω. γλυκερὴ δὲ πέλει περὶ βωμὸν ἄνακτος
Τερπωλὴ, χλοερόν τε πέδον, μαλακαί τ᾽ ἐπὶ ποῖαι,

Καὶ

Quam veteres Phœbo exstruxerunt.
In qua fragmentum aridum olivæ relictum fuerat
Discissæ, quod exsiccans vorax reliquit ignis.
Quod ego arripiens, fatalem directè me ante draconem
Converti. Accensus verò est montani monstri furor gravis,
Postquam pugnam me meditantem vidit. & in arctũ se convol-
Flectens in multas spiras prolixam spinam. Sed super alium(vit,
Alius, tum rursus alius se volventis circulus conspiciebatur.
Denique & super aram cervicem elevavit,
Et exsibilans, clamantis mei vocem longè superavit.
Ego verò caput durum montanæ bestiæ percussi;
Inque ipso, fregi ramum, ira excandescente capite.
Non enim mihi fatale erat cruenta fera domari.
Tunc, qui greges procul inde pascentes
Sequebantur, duo patris mei canes, clamantem
Agnoscentes, accurrerunt, valde enim ipsis mitis eram.
Et in ipsos draco irruit. Ego verò per campum profugiens
Citato cursu; quemadmodum Jovis uncunguem fugiens
Aquilam, in densis latet fruticetis lepus,
Tali similis, ovibus immixtus, à conspectu perniciosæ bestiæ
Latui, medios inter, membris contractis, hœdos.
Cùm itaque pater illæsum me intellexisset,
Frequenter vitulum adduxit ad meæ salutis auctorem aram,
Solvens Soli præmium pro vita servata filii sui.
Ego verò à grege pinguem vitulum auferens
Vernum, crescentem sub juvencæ ubere matris,
Accessi ad verticem, adducens mecum lætum amicorum chorũ.
Cum quibus duo canes, draconis jugulatores, ascenderunt
Sponte sua, Dulcis verò circa aram Regis erat
Amœnitas, virescens campus, & molles herbæ,

Καὶ λασίαι πτελέῃσιν ὕπο σκιή. ἄγχι δ' ἄρ' αὐτῶν
Ὕδωρ ἀέναον λισσῆς ὑπὸ πυθμένα πέτρης
Λευκὸν ἀναβλύζων κελαρύζεται εἴκελον ᾠδῇ.
Ἴομεν· ἦτοι δαῖτα θεῶν θέμις ἀρνήσασθαι.
Ὣς ἐφάμην· ὁ δέ μ' ὧδε προσηύδα δαιμόνιος φώς,
Ἀλλά σε μὲν κρείων φαεσίμβροτος ἐξ ἀλεγεινῆς
Αἰὲν ἄγοι κακότητος, ἀδακρύτοιό τε πέμποι
Ὄλβου πρὸς μέγα δῶμα, φιλοφροσύνης ἕνεκα σφῆς.
Οὐδὲ μὲν οὐδέ σ' ἐγώ περ ἀμοιβῆς αὐτὸς ἀμέρσω·
Ἀλλ' ἐπεὶ οὖν ἄξων ἱερήιον εἰσαναβαίνεις,
Ὄφρα τοι εὐχομένοιο κλύοι θεὸς ἐγγυαλίξω,

* * * * * * *

ΚΡΥΣΤΑΛΛΟΣ.

Κρύσταλλον φαέθοντα διαυγέα λάζεο χερσὶ
Λᾶαν, ἀπόρροιαν περιφεγγέος ἀμβρότου αἴγλης·
Αἰθέρι δ' ἀθανάτων μέγα τέρπεται ἄφθιτον ἦτορ.
Τόν κ' εἴπερ μετὰ χερσὶν ἔχων περὶ νηὸν ἵκηαι,
Οὔτις τοι μακάρων ἀρνήσεται εὐχωλῇσι.
Κέκλυθι δ' ὄφρα μάθοις μένος ἀργυφέοιο λίθοιο·
Εἰ γὰρ ἄτερ κρατεροῖο θέλεις πυρὸς ἐς φλόγας ὄρσαι,
Κέκλομαι αὐαλέων μιν ὑπὲρ δαΐδων καταθεῖναι.
Αὐτὰρ ὅγ' ἠελίοιο κατάντιον αὐγάζοντος
Αὐτίχ' ὑπὲρ δαΐδων ὀλίγην ἀκτῖνα τανύσσει.
Ἡδ' ὅτε καρφαλέης τε θίγῃ καὶ πίονος ὕλης
Καπνὸν, ἔπειτα δὲ πῦρ ὀλίγον, μετὰ δὲ φλόγα πολλὴν
Ὄρσει· τὴν δ' ἄρα φασὶ παλαιγονέες ἱερὸν πῦρ.
Τάων οὐχ ἑτέρας μᾶλλον φλογὸς ἔλπομ' ἔγωγε
Ἀθανάτοις οὕτω κεχαρισμένα μηρία καίειν·
Πρὸς δ' ἔτι σοι καὶ τοῦτο φίλον μέγα θαῦμα πιφαύσκω·

Αὐτὸν

Et densa sub ulmis umbra, juxta verò illas
Aqua perennis, cavæ ex penetralibus petræ
Limpida scaturiens, sonum fluendo edidit similem cantus.
Eamus, non fas est Deorum convivium renuere.
Talibus eum affatus sum. Ille verò me sic alloquutus est divius
At Phœbus te propitius ex omni molesto (vir:
Semper liberet malo, lætasque mittat
Divitias in magnam domum tuam, humanitatis caussa Tuæ.
Sed neque ego te privabo in vicem præmii.
Et quoniam rem sacram peracturus ascendis,
Ut te orantem audiat Deus, efficiam.

* * * * * * *

CRYSTALLUS.

CRystallum splendentem ac pellucidum accipe manibus
Lapidem, radium lucidi divini splendoris.
Quo in æthere maximè delectatur Deorum immortalium cor.
Quem si in manibus gestans ad fanum accesseris,
Nullus Deorum vota tua renuet.
Audi igitur ut discas vires splendentis lapidis:
Quod si placet absque vivaci igne flammas excitare,
Jubes aridas eum super faces deponere.
Tum verò ille, sole ab opposita parte irradiante,
Statim supra faces exiguum radium explicabit:
Qui, quamprimùm siccam & pinguem attigerit materiam,
Fumum, deinde ignẽ exiguum, denique verò flammam magnam
Excitabit: quam dicunt esse Antiqui matris sacrum ignem
Non alia magis flamma spero ego
Immortalibus tam grata sacrificia urere.
Addo præterea & hoc miraculum crystalli:

Αὐτὸν ὅπις πέλεται φλογὸς αἴθωνος, αἴκε μάλ' ὦκα
Ἐκ πυρὸς ἁρπάξαις, ψυχρὸς πέλει ἀμφαφάασθαι.
Ἀμφὶ δὲ καὶ νεφροῖσι δεθεὶς κάμνοντα σαώσει.

ΓΑΛΑΚΤΙΤΗΣ.

Δεύτερον εὔχομαί τοι ἀρηγόνα λᾶαν ὀπάσσω,
Θεσπεσίοιο γάλακτος ἐνίπλεον, ἠΰτε μαζὸν
Πρωτοτόκου νύμφης ἢ μηκάδος οὐθατοέσσης.
Τόν ῥα παλαιγενέες μὲν ἀνακτίτην ἀδάμαντα
Κλεῖον, ὅτι γνάμπτει μακάρων νόον, ὄφρα θυηλὰς
Ἀζόμενοι ἐθέλωσιν ἐπιχθονίους ἐλεαίρειν.
Ἠδ' ἄρα μιν λήθαιον ἐφήμισαν, οὕνεκεν αἰεὶ
Μεμνῆσθαι κακότητος ὀϊζυρῆς ἀπερύκει
Θνητοὺς ἀθανάτους τε· νόον δ' ἐριούνιον εἶναι
Θέλγει, ἐποτρύνων ἀγανὰ φρεσὶ βουλεύεσθαι.
Ἄλλοι δ' ἐσκήψαντο γαλακτίδα φέρτερον εἶναι
Κικλήσκειν πέτρην, ὅτι τοι τρίψαντι γάλακτος
Ἐκπρορέει λευκοῖο πανείκελος ἔνδοθεν ἰχώρ.
Πεῖρα δέ τοι καὶ τοῦδε παρέσεται αἴκε θέλῃσθα.
Οὔθατα γὰρ μήλων ὅτε κεν μινύθοντα ἴδηαι,
Πῶς ἕρξεις φίλε τέκνον; ἐπὴν ἐρίφοισι τεοῖσι,
Οὕς ποτε θῆρα πέλωρον ὑπεκπροφυγεῖν ἱκέτευες,
Τοῖσι παρασταίης τεθνηόσι, οἱ δ' ἐνὶ σηκῷ
Ἀμφί σε λεπταλέοι γοερὸν περιμυκήσονται,
Τῶν μὲν ἀκηχεμένας ἐπιτέλλεο μητέρας αἰὲν
Λούειν πηγάων κυανοχετέων ἐν δίνῃσι,
Στήσας δ' ἠελίου κατεναντίον ἀντέλλοντος,
Ἁγνίζειν μὲν πρῶτον ἐποιχόμενος περὶ πάσας,
Ἅλμην δ' ἐν κρητῆρι καὶ ἄλφιτα λεπτὰ λίθοιο
Χευάμενος, διὰ πῶϋ καὶ αἰγῶν ἔρχε' ὅμιλον,

Ῥαί-

Quod ille, qui flammæ auctor est, quam primùm
Ex igne extraxeris, subito refrigeratus palpari potest,
Et renibus appositus, dolorem leniet.

GALACTITES.

Tibi secundum præbeo lapidem, qui orantibus prodest,
Divino lacte plenum, instar mammæ
Primùm enixæ puellæ, vel vaccæ uberosæ.
Quem veteres ananchiten adamantem
Appellarunt, eò quòd Deorum animum flectat, ut sacrificiis
Honorati, velint mortalium misereri.
Quem & Letheum nominarunt, quoniam semper
Mali ærumnosi efficiat immemores esse
Mortales immortalèsque, animosque demulceat,
Incitans jucunda animo concipere.
Alii verò existimarunt consultius esse Galactidem
Appellare petram, quòd ex eo, si quis conterat,
Profluat lacti similis albo, interna medulla.
Hujus, si velis, experimentum, tibi in promptu erit.
Quúm enim ovium ubera imminuta videbis,
Quid ages, chare puer? quando hœdis tuis
Pro quibus, feram ut horrendam effugiant, aliquando suppli-
Adstiteris afflictis, illi autem in stabulo, (castr,
Circa te macilenti gemebundum quid balaverint:
Tum verò illorum ægrotantes jube matres
Lavare in nigricantium fontium gurgitibus,
Stansque è regione Solis emergentis,
Primùm singulas ordine accedens purgabis,
Et salsuginem ex cratere cum tenui pulvere galactitis
Fundens, per ovium & caprarum transi gregem.

Ῥαίνων καρποφόρον λάσιον μετὰ νῶτον ἑκάστης·
Θαλλῷ τῷ δ' ἄρα πᾶσαι ἰαινόμεναι περὶ σηκοὺς,
Ἐξαπίνης μετὰ τέκνα φερεσταγέες τελέθουσι·
Οἱ δ' ἄρ' ὑπὲρ μαζοῖσι κορεσσάμενοι γαλαθηνοὶ
Σκιρτηθμῶν ἐξαῦτις ἀναμνήσονται ἀγέρωχοι.
Σοὶ δὲ μελικρήτοιο μετὰ γλυκεροῖο μιγέντα
Ὄρνυε πινέμεναι νύμφην, ἵνα νήπιον ἦα
Μαστοῖσιν μεθύοντα παρ' εὐναίοισι κομίζοι.
Ἀμφὶ δ' ἄρ' αὐχένι παιδὸς ἀερτάζουσα τιθήνη
Λᾶαν, ἐρητύσει κακομήλιος ὅσσε μεγαίρης.
Λαοὶ δέ σε καὶ βασιλῆες ἀμύμονες αἰδέσονται
Ἐν χερὶ λᾶαν, ἔχοντα καὶ ἄπλετα φῦλ' ἀνθρώπων.
Ἀθάνατοι δὲ μάλιστα νόου καταθύμια σεῖο
Πάντα τελευτήσουσιν, ἐπαρείων ἀΐοντες.

ΠΕΤΡΑΚΗΣ.

Χρὴ δὲ καὶ εὐπέταλον πετραίκεα λᾶαν ἔχοντας
Ἀρᾶσθαι παρὰ βωμὸν ἐναιρομένης ἑκατόμβης.

ΑΧΑΤΗΣ.

Εἰ καὶ δενδροφύτοιο φέροις τεῦχος ἐν χερὶ πέτρης
Μᾶλλον καὶ τέρποιτο θεῶν νόος αἰὲν ἐόντων
Δένδρεα γὰρ μάλα πολλὰ κατόψεαι ὡς ἐνὶ κήπῳ
Ἀνθεμόεντι, κλάδοισιν ἐπασσυτέροις κομόωντα.
Τοὔνεκά οἱ καὶ φῶτες ἀχάτῃ δενδρήεντι
Θῆκαν ἐπωνυμίην, ὅτι οἱ τὸ μὲν ἔπλετ' ἀχάτου,
Ἄλλο δ' ἔχει λασίης ὕλης δέμας εἰσοράασθαι.
Τόνδε τεοῖσι βόεσσιν ἀναχίζουσιν ἄρουραν
Ἀμφὶ κέρατα δύω βαλέειν, ἢ καρτερὸν ἀμφὶς
Ὦμον ἀροτρεύοντος ἀτειρέος ἀγροιώτου·

Conspergens supra dorsum fertilem & villosum singulas.
Vegetiores confestim omnes in stabulis erunt,
Et fœtibus suis lac copiosè præbebunt.
Illi verò sub mammis lacte satiati
Subsultuum statim recordabuntur feroculi.
Mulso verò dulci immistum galactitem
Offer ad bibendum enixæ, ut parvulum filium
Mammis inebriatum ad cubile ferat.
Et si nutrix collo pueri appendat
Lapidem, arcebit à conspectu pueri dolosam Megæram.
Quin etiam te Reges irreprehensibiles venerabuntur,
Si in manu gestaveris hunc lapidem, & innumeræ gentes,
Dii verò maximè, quæcunque accepta erunt animo tuo,
Omnia perficient, vota tua exaudientes.

PETRACES.

OPortet virentem Petracem lapidem habentes,
Solvere ad aram susceptum sacrificium.

ACHATES.

SI in manu gestaveris fragmentum lapidis Dendrachatis
Deorum immortalium valde animus delectabitur.
In quo arbores multas conspicies, velut in horto
Florente, frequentibus ramis frondente.
Id circo ei homines Achatis arborescentis
Cognomen imposuerunt, quoniam partim similis est Achati,
Partim verò speciem præbet hirtæ silvæ.
Illum si bobus tuis proscindentibus terram
Circa gemina cornua immiseris, vel circa robustum
Humerum arantis duri agricolæ,

Καί κεν ἀπ' οὐρανόθεν σταχυοπλόκαμος Δημήτηρ
Μεστὸν ἴοι φερέκαρπον ἐς αὔλακα κόλπον ἔχουσα.

ΠΕΡΙ ΚΕΡΑΤΟΣ ΕΛΑΦΟΥ.

Σκέπτεο, καὶ θνητὸν ἔχων ἐλάφοιο πέλαζε
Ἀθανάτοισι κέρας· ποτὶ γὰρ νόος οὐρανιώνων
Μειδιάει, φύσιος πολυδαιδάλου ἔργον ἰδόντων,
Ἐκ κεφαλῆς ἐλάφοιο. φύει γε μὲν οὐ ποτὶ κόρσην
Πέτρη, ἀλλ' ἔμπης πέλεται κρατερή τε γε πέτρη.
Οὐδέ κεν ἂν γνοίης κέρας ἀτρεκὲς ἢ λίθος ἐστὶ,
Πρίν κέ μιν ἀμφαφόων εὕροις νημερτέα λᾶαν.
Αἰεὶ τοι θήσει λασίην ἐπὶ κράατι λάχνην,
Εἰ καὶ ψεδνοκάρηνος ἔοις. εἰ γάρ μιν ἐλαίῳ
Τειβόμενον τρίβοις κροτάφους πάντ' ἤματα σεῖο.
Αἱ δὲ νέαι περὶ βρέγμα τεὸν τρίχες ἀνθήσουσι.
Πρωτόγαμον δ' αἰζηὸς ἄγων ἐς δέμνια κούρην,
Τερπωλῆς ἐρατῆς ἐπιμάρτυρα τόνδε φέροιτο
Λᾶαν. ὁ δ' ἀρρήκτοισιν ὁμοφροσύνῃσιν ἄμ' ἄμφω
Ἴσταιν ἐς γῆρας καὶ ἐς ἤματα πάντα καθέξει.

ΠΕΡΙ ΒΑΡΒΑΡΟΥ ΛΙΘΟΥ τῶν ἐν ἀγροῖς αὐλιζομένων.

Ποιμέσι δ' ἀγραύλων ταύρων, Διὸς αἰγιόχοιο
Υἱεῖ κισσοχίτωνι, λίθον καταθύμιον εἶναι
Βάρβαρον ἀγγέλλω, συεληγμένος κελαδεινοῦ,
Ὕδασιν Εὐφρήταο διαινόμενον ζαθέοισι.
Ὅς τοι φυταλιῆς ἕνεκεν ῥέξαντι θυηλὰς,
Κλήμασιν αὐτίκα σεῖο φερεσταφύλοισιν ἀλωὰς
Ἀμφιέσας, πολλόν τοι ἀφύσσασθαι μέθυ δώσει.

Tunc cœlitus, ſpicis coronata Ceres
Plenum in ſulcum effundet frugiferum ſinum.

DE CORNU CERVI.

Adverte, & cùm mirandum habueris cornu cervi,
Accede ad Deos immortales: mens enim cœleſtium
Exhilaratur, quùm varium naturæ opus vident
Ex capite cervi prognatum. Neque verò innaſcitur capiti
Petra, ſed tamen duro lapidi aliquid ſimile.
Ita ut ægrè dignoſcere poſſis, cornu verum ſit, an lapis:
Niſi priùs contrectans, invenias an verus ſit lapis.
Capillos tibi excreſcere faciet
Si calvus fueris. Si enim cum oleo
Contriveris, eoque ſingulis diebus tempora inunxeris,
Tunc in calvaria tua pili recentes efflore ſcent.
Quodſi uxorem juvenis primam duxeris juvenculam,
Delectabilis amatæ teſtem hunc tecum habebis
Lapidem. Et hic vos indiſſolubili vinculo amicitiæ ambos
Per omne vitæ ſpacium conjunget.

DE BARBARO LAPIDE
Eorum qui in agris degunt.

Paſtori verò taurorum agreſtium, Jovis Ægiochi
Filio hederacea induto tunica, jucundum eſſe lapidem.
Barbarum dico, Syri reſonantis
Euphrati in aquis madefactum perdivinis:
Is, ſi vitium cauſſa rem ſacram feceris,
Palmitibus uvis abundantibus tuam ſtatim vineam
Cingens, efficiet ut multum vini haurire poſſis.

ΙΑΣΠΙΣ.

Καὶ γλαφυρὸν κομίσας ἐαρόχροον αἴκεν ἴασπιν
Ἱερὰ ῥέζοι τις, μακάρων ἰαίνεται ἦτορ,
Καί οἱ καρφαλέας νεφέλαις κορέσουσιν ἀρούρας,
Ἡ δὲ καὶ αὐχμηρῇσιν ἄγοι πολὺν ὄμβρον ἀρούραις,
Αὐχμῆς δ' ἐκ πεδίου ῥοθίων ἀπόεργε χάλαζαν
Ἡμετέρου, καὶ κῆρας ὅσαι στιχόωσιν ἐπ' ἀγρούς.
Καὶ σε γὰρ ἀθανάτων φιλέει νόος, ἐκ δ' ἄρα βωμῶν
Ἥΰτε περ κρύσταλλος, ἄνευ πυρὸς ἐκ φλόγα πέμπεις·
Ἐν δέ σοι ἀντίπαλον κεῖται μῦθος, ὁππότε δὴ πῦρ
Νηδὺν ἀμφιέσῃ, ἐνὶ γὰρ πλείοιο λέβητος
Ψυχρὸν ἐπειγομένοιο περισμιμένῃ ἔνδοθεν ὕδωρ.
Ἐι δέ τις ἐν ψυχρῇσι λίποι κονίῃσι λέβητα,
Παφλάζει κρατεροῖο κυκωμένου ἔνδοθι χαλκοῦ·

ΤΟΠΑΖΟΣ.

Ἔσθλοὶ δ' αὖτ' ἐπὶ τοῖσι καὶ ὑαλοειδέες εἶναι
Κλείονται θνητοῖσι θυηπολίῃσι τόπαζοι.

ΟΠΑΛΛΙΟΣ.

Φημὶ δέ τοι τέρπειν καὶ ὀπάλλιον οὐρανίωνας
Ἀγλαὸν, ἱμερτοῦ τέρενα χρόα παιδὸς ἔχοντα.
Καί ἑ καὶ ὀφθαλμοῖσιν ἀοσσητῆρα τετύχθαι,
Καὶ πίτυς δάκρυσι λιθούμενον ὀψιανοῖο,
Καὶ σμύρνην μίσγειν εὐώδεα καὶ φολίδεσσιν
Ἀργυφέσιν λεπιδωτὸν ἀποστίλβοντα κελεύω.
Αὐτίκα γὰρ δώσουσι θεοπροπίας ἀγαθῶν τε
Ἐσσομένων λυγρῶν τε· καὶ εἴσεαι ἄσσε θέλησθα
Καὶ νούσων ἀλεγεινὰ πάθη λεπιδωτὸς ἀμύνει.

JASPIS.

JAspidem elegantem ac aërini coloris si quis gestaverit,
Rem sacram facturus, Beatorum exhilaratur cor,
Et hi sicca arva imbribus satiabunt,
Et auctor erit, ut aridæ terræ multo imbre madefiant.
Tu verò & siccitatis & pluviosarum grandinum ex agro aver-
Nostro, & pestium quæcunque cingunt agros, (runce
Certè te immortalium diligit animus, atque in aris
Haud secus ac crystallus, sine igne, flammam emittis.
Inque te æqualis vis latet, ac quando ignis
Ventrem cingit pleni lebetis in quo
Frigida continetur aqua,
Et si quis vel in frigidis cineribus relinqueret lebetem,
Ebulliet infirmo atque æstuante metallo.

TOPAZIUS.

BOni etiam ad eadem hæc hyalini coloris esse
Dicuntur mortalibus sacra facientibus Topazi.

OPALLIUS.

DIco verò tibi, delectare etiam Opallium cœlestes
Splendidum, chari pueri teneram cutem habentem.
Illumque & oculorum medicum esse,
Et pini lacrymis, lapidescentem
Et myrrha bene olente misceri, & squamis
Albicantibus resplendescente Lepidoto, jubeo.
Statim verò dabunt vaticinia bonorum
Futurorum & malorum; & si scire desideras,
Etiam nervorum molestos dolores Lepidotus arcet.

Deu-

Δοιὼ δ' ἠελίου χρυσότριχε λᾶε πέλονται,
Ἄμφω θεσπεσίω· θάμβος δέ τοι ἔσσετ' ἰδόντι.
Ἀμφοτέροις ἀκτῖνες ἐτήτυμοι ἐμπεφύασιν,
Ὀρθαὶ, λαμπετόωσαι· ἰδεῖν γε μὲν οἷον ἔθειραι,
Εἶδος δέ σφι λίθων ἄλλο. τὸ μὲν τε νοήσεις
Κρύσταλλον κενεήν· ὁ δὲ χρυσολίθῳ δέμας ἄντην
Εἴκελος εἰσιδέειν. εἰδ' οὐκ ἔχεν οὐδ' ὅγ' ἐθείρας,
Χρυσόλιθός κεν ἔην· ἀτὰρ ἐσθλὼ φημὶ τετύχθαι.
Ἐν γάρ σφιν μέγα δήλη φερέσβιος ἔμβαλε πνεῦμα
Ἠέλιος, ῥοῖζον ἑλκυδέος αὐτίκα φωτὸς,
Σεμνοτέρους τ' ἰδέειν· καίτοι σέβας ἔσσεται αὐτῶν.
Αἶψα γὰρ ἡρώων σφὶν ἐπέρχεται εἶδος ἀγαυὸν,
Οἵτε θεοῦ μέγα δῶρον ἐπισταμένως φορέουσι·
Τόλμα δ' ἀθανάτους καὶ ἐνηεῖ μειλίσσεσθαι.

ΜΑΓΝΗΤΙΣ.

Μαγνῆτιν δ' ἔξοχ' ἐφίλησεν θοῦρος Ἄρης
Οὕνεκεν ὁππότε κεν πελάσοι πολιοῖο σιδήρου,
Ἠΰτε παρθενικὴ γλαγόφρονι χερσὶν ἑλοῦσα,
Ἠΐθεον στέρνῳ περιπτύσσεται ἱμερόεντι,
Ὥς ἵγ' ἁρπάζουσα ποτὶ σφέτερον δέμας αἰεὶ,
Καὶ πάλιν οὐκ ἐθέλει μεθέμεν πολεμιστὰ σίδηρον.
Ἤτοι μὲν μιν φασὶ καὶ ἠελίοιο πέλεσθαι
Ἀμφίπολον κούρης, ὅτε κεν θέλγητρα παλύνοι·
Καί μιν ὑπερθυμός γε τεκεκτόνος Αἰήταο
Κύδηνεν κούρη πολυμήχανος· αὐτὰρ ἔγωγε
Σῆς ἀλόχου κέλομαί σε δαήμεναι εἰ ἔθεν ἁγνὸν
Ἀνδρὸς ἀπ' ἀλλοτρίοιο λέχος καὶ δῶμα φυλάσσοι.
Ἐς γάρ μιν κομίσας ὑπὸ δέμνια, κάτθεο λάθρῃ,
Χείλεσιν ἀείδων θελξίμβροτον ἀτρέμας ᾠδήν.

Ἠ

Duo verò Solis auricomi lapides sunt,
Ambo perdivini, stupebis verò quando eos videris.
Ambobus veri radii insiti sunt
Recti, splendentes, qui velut comæ apparent:
Species verò lapidum diversa. Hunc quidem diceres
Crystalli pellucidi, illum verò Chrysolithi speciem
Referre. Et nisi etiam hic haberet crines,
Chrysolithus certè esset. Ambos verò bonos esse dico,
In illos enim magnum spiritum impressit nutritor
Sol, & facilè gloriosi impetum viri producunt,
Et formæ gravitatem, licet exse venerabiles sint.
Statim enim heroum speciem generosorum capiunt, (qui eos gestant)
Et hi Dei magnum munus fideliter ipsis conferunt.
Pariter enim & Audacia & Placiditas diis accepta est.

MAGNES.

Magnetem verò maximè amat bellicosus Mars
Quoniam, si quando appropinquaverit polito ferro;
Haud secus ac virgo ulnis amplectens, lacteo
Juvenem pectori apprimit amore flagranti:
Ita hic lapis attrahit ad suum corpus semper,
Et nunquam rursus dimittere vult, bellicosum ferrum.
Hunc quidem ferunt fuisse Solis
Filiæ servum, tùm cùm demulcentia medica mina miscuisset;
Atque illum magnanimi Æetæ gnata
In deliciis habuit vafra. Ast ego
Conjugem tuam jubeo te explorare, an castum
Ab alieno viro lectum & domum suam servet:
Hunc enim lapidem ferens tecum sub stragulis clam depone,
Canens interim, tanquam aliud agens, hilarem cantilenam.

Ἡ δὲ κατακνώουσα καὶ ἤδη περ μάλ' ἐν ὕπνῳ
Ἀμφί σε χεῖρ' ὀρέγουσα πολυπλύοσειν μενεαίνει.
Εἰ δέ ἑ μαχλοσύνῃσιν ἐλαύνει δῖ' Ἀφροδίτη,
Ὑψόθεν ἐς γαῖαν πετανύσεται ἐκπροπεσοῦσα.
Καὶ δοιὼ μάγνησαν ἀδελφειὼ φορεόντων,
Θυμὸν ἀπειρεσίης φυγέειν ἔριδος ποθέοντε.
Καὶ λαοὺς ἀγορήνδε συναγρομένους ὀπὶ καλῇ
Θέλξεις, ἐν στήθεσιν ἄγων μελιηδέα πειθώ.
Καί τοι πολλάκεν ἄλλα δυνησόμενος καταλέξαι
Θέσκελα, τοῖο λίθοιο, τί πλέον οὐρανιώνων
Φθέγγομαι, ὧν αἶψα καὶ ὑψόθι περ μάλ' ἐόντων
Ἦτορ ἐπιγνάμπτει καὶ ἐφέλκεται, ὄφρα κε τοῖο
Ὦκα μάλ', ὥστε τοκῆες, ἐέλδωρ ἐκτελέσωσι.
Ἀλλ' ἤτοι τάδε μὲν καὶ ἐπαυτίκα πειρηθῆναι,
Πάντα μάλ' ὅσ' ἀγόρευσα, παρέσεται, εἴκ' ἐπὶ βωμὸν
Ἔλθωμεν. καὶ γάρ μοι ἐπισπόμενός μοι ὅγ' ἀνὴρ
Ὤμοισι κρατεροῖσιν ἰὼν φέροι αἴολον ὕλην.
Νῦν δ' ἐπεὶ ἀτραπιτοῖο πολὺ πλέον ἄμμι λέλειπται,
Σεῖο δέ τοι κλονέει κραδίην μέγα δεῖμα δράκοντος,
Μάνθανε καὶ δολιχῶν ὄφεων μὴ δειέμεν ἰούς.
Τρίψαι γὰρ λεπτὴν ὀφιήτιδα κέκλεο πέτρην,
Ἥν ποτέ τις κρατεροῖσι πεπαρμένος ἔλθῃ ὀδοῦσι,
Καί μιν ἐφ' ἕλκει πάσσε· καὶ ἀτρεκὲς ἔσσετ' ὄνειαρ.

ΟΣΤΡΙΤΗΣ.

Νῦν δὲ καὶ ὀστρίτην οἴνῳ λίθον ἐντρίψαντας,
Ἄκρητον, κέλομαι πίνειν, ὀδυνήφατον εἰδώς.
Αὐτοκασιγνήτην πελιῆς καὶ ὁμώνυμ' ἐχίδνης,
Ἥ ῥά ποτ' εἰναετῆ λώβην ἀμενηνὸν ἔθηκας
Ῥίμφα Φιλοκτήταο, Μαχαονίης ἀπὸ τέχνης.

Illa verò ſuavi ſomno ſtertens
Circa te manus extendens, amplecti cupiet.
Quod ſi verò illam incontinentiis urget diva Venus,
Ex alto in terram exporrecta decidet.
Tum etiam duo magnetem fratres ſecum ferant
Iram immenſæ contentionis effugere cupientes.
Atque etiam populum & forum congregatum eleganti ſermone
Demulcebis, in pectore verſans mellitam ſuadam.
Et licet tibi alia multa poſſim recenſere
Miracula hujus lapidis, quid ultra cœleſtes
Progrediar? quorum, licet altiſſimas ſedes incolentium,
Mentem flectit & allicit, ita ut tuo
Quamprimum, ac ſi parentes tui eſſent, deſiderio ſatisfaciant.
At certè horum quidem ſtatim periculum facere,
Omnium quæ dixi, poterimus, ſi ad aram
Pervenerimus. Etenim vir iſte qui me ſequitur,
In robuſtis humeris fert variam harum rerum materiam.
Nunc verò, quoniam nobis adhuc multum viæ reliquum eſt,
Tuumque cor turbat adhuc ingens portentum draconis,
Diſce etiam prolixorum ſerpentum non extimeſcere ſpicula.
Jube parvum Ophietidem lapidem in pulverem comminui,
Si quando validis ſerpentis, incedat aliquis dentibus punctus,
Et illum in vulnus inſperge, & præſens erit remedium.

OSTRITES.

NUnc verò & Oſtriten lapidem in vino contritum
Purum jubeo bibi, ſcio enim dolores eum lenire.
Germane & homonyme lapis candentis viperæ,
Qui aliquando, novenni, vulnus innocuum reddidiſti
Facilè Philoctetæ, Machaonia arte.

Non

Οὐ μὲν πως κείνην Ποιάντιος ἔλπετο θυμῷ
Νοῦσον ὑπεκφεύξεσθαι ἀταρτηρὴν, ποθέων περ.
Ἀλλ' ὅγ' ἀλεξικάκοιο μαθὼν παρὰ πατρὸς ἐρωὴν
Λᾶαν, ὅτις κε πύθοιτο, βαλὼν ἐπὶ φάρμακα μηρῷ,
Σῶσεν ἐπὶ Τρώεσσιν Ἀλεξάνδροιο φονῆα.
Τόν ῥα μεθ' ὑσμίνην ἥκειν ποσὶν ἀτρεμέεσσιν
Πριαμίδης παρὸς αὐτὸς ἀποθνήσκων περ ἀπίστει.
Ἔκτανε δ' ἠπεροπῆα Πάριν Ποιάντιος ἥρως,
Κεκλομένους Δαναοῖς Ἑλένου Τροίηνδε κομίσσαι
Λοιγὸν ἀδελφειοῖο μιαιφόνον ἐκ Λήμνοιο.
Τῷ γὰρ Ἀπόλλων Φοῖβος ἔχειν λίθον αὐδήεντα
Δῶκε σιδηρίτην νημερτέα· τόν ῥα βροτοῖσιν
Ἤνδανεν ἄλλοισιν καλέειν ἄψυχον ὀφείτην,
Αὐγρὸν, ὑποτρηχὺν, στιβαρὸν, μελανόχροα, πυκνόν.
Ἀμφὶ δέ μιν κύκλῳ περί τ' ἀμφί τε πάντοθεν ἶνες
Εἴκελοι ῥυτίδεσσι ἐπιγράβδην τανύονται·
Ἤματα μὲν τρὶς ἐφ' ἑπτὰ βίην Ἑλένοιο πέπυσμαι
Θηλυτέρης τε λέχος φεύγειν καὶ κοινὰ λοετρὰ,
Καὶ σεμνὸν ἀδίαντον ἐδωδῆς ἐμψύχοιο.
Ἀενάῳ δ' ἐπὶ πέτρον ἐχέφρονα πίδακι λούων,
Φάρεσιν ἐν μαλακοῖσιν, ἅτε βρέφος, ἀλδήσασκε
Καὶ θεὸν ὡς ἐπ' ἀρῆσιν ἀρεσσάμενος θυέεσσι,
Λᾶαν ὑπερμενέεσσιν ἀοιδαῖς ἔμπνοον ἔρδεν.
Ἐν καθαρῷ δὲ φάος μεγάρῳ λύχνοισιν ἀνάπτων,
Χερσὶν ἑαῖς ἀτίταλλε, θεουδέα πέτρον ἀείρας,
Μητέρι νήπιον υἱὸν ἐοικὼς δὴ κατεχούσῃ·
Καὶ σὺ δ' ἐπὴν ἐθέλῃς ὄπα δαιμονίην ἐπακοῦσαι,
Ὧδ' ἔρδειν, ἵνα θαῦμα μετὰ φρεσὶ σῇσι δαείης·
Ὁππότε γὰρ μιν πάγχυ κάμῃς ἐνὶ χείρεσι πάλλων,
Ἐξαπίνης ὄρσῃ νεογιλλοῦ παιδὸς ἀϋτὴν,

Non enim amplius Pœantius ſperabat
Morbum pernicioſum pelli poſſe, licet ex animo optaſſet.
Verum hic à medico patre edoctus ſuppetias ferentem
Lapidem, (quod, quis unquam audivit?) applicuit femori re-
Concitavitq; in Trojanos Alexandri interemptorē.(medii loco
Quem quidem in pugnam veniſſe valentibus pedibus,
Priamides ipſe antequam morti vicinus eſſet credere non potuit.
Occidit verò perfidum Paridem Pœantius heros,
Heleno jubente Danais, ut Trojam adducerent
Sceleſtum fratris occiſorem ex Lemno.
Illi verò Phœbus Apollo lapidem vocalem
Sideritem verum dedit. quem, hominibus
Aliis placuit vocare anima carentem Ophitem,
Funeſtum, aſperum, durum, nigrum, ſpiſſum.
Circa ipſum verò circulatim ab omni parte undique fibræ
Rugis ſimiles, inſculptæ extenduntur.
Ter ſeptem quidem dies Helenum audivi
Uxoris lectum refugiſſe & communia balnea,
Virum gravem & temperantem, eſuque animalium abſtinuiſſe.
Perenni verò in fonte lapidem animoſum lavans,
Veſtibus in mollibus, tanquam infantem, fovit,
Et tanquam Deum, ex voto placans ſacrificiis,
Lapidem præpotentibus tandem hymnis vivacem reddidit.
In caſta vero domo lumen lychnis accendens,
Propriis ſuis manibus curavit divinum lapidem tollens.
Matri parvulum filium geſtanti ſimilis.
Et tu, quandoquidem vocem Deorum vis audire,
Sic facias, ut miraculum animo tuo intelligas:
Quando enim ſimulabis te illum manibus vibraturum,
Subito edet vocem recens nati infantis,

Nũ

Φαίης ἐν κόλπῳ κεκληγότος ἀμφὶ γάλακτι.
Χρὴ δέ σε τετληότι νόῳ αἰνέμεν αἰεὶ
Μή πως ἠπεδανοῖο λυθεὶς ὑπὸ δείματος ἔξω
Ἐκ χερὸς οὖδάσδε βαλὼν, χόλον αἰνὸν ὀρίνῃ
Ἀθανάτων· τόλμα δὲ θεοπρόπιον ἐρεείνειν.
Πάντα γὰρ ἐξερέῃ νημερτέα· καί μιν ἔπειτα
Πλησίον ὀφθαλμῶν ὅτε κεν λούσῃς γε πελάσσας,
Δέρκεο· θεσπεσίως γὰρ ἀποψύχοντα νοήσεις.
Ὧδε μὲν Ἀτρείδῃσιν ἁλώσιμον ἔφρασε πάτρην
Λαομεδοντιάδης Φοιβήπερι λᾶϊ πιθήσας.
Σοὶ δ' ἔτι καὶ σθένος ἄλλο σιδηρείταο πιφαύσκω·
Ἑρπετῷ γὰρ δὴ πάμπαν ὑποτρομέοντι ἔοικε.
Σεῖο δ' ἔχεν πολὺ μεῖζον ἀκοίμητόν τε νόσοιο
Δεῖμα Φιλοκτήτης, μεμνημένος αἰὲν ἐχίδνης.
Τοὔνεκα Παλαμήδαο σαόφρονος οὔποτε νόσφι,
Ἤθελεν εὔχεσθαι, γουνούμενος ὄφρα ἥν εἴποι
Θαλπωρὴν, εἴπερ ποτ' ἐπὶ χθόνα μητέρα θηρῶν
Ἔρχηται, πῶς κεν πολιὸν γένος ἐκπροφύγῃσι.
Τῷ δ' ὅγε Λητοΐδην ἐπέων ἐπιμάρτυρα Φοῖβον
Κικλήσκων ἀγόρευε, τὰ δὴ νῦν σοι καταλέξω.
Εὖτέ με παῖς θ' ἐδίδασκεν Ἀκερσεκόμης ἀγορεύειν
Μαντοσύνας, μέγαν ὅρκον ἐκέκλετο πρῶτον ὀμόσσαι,
Ψευδέα μήποτε μῦθον ἐνισπεῖν ἀνθρώποισι·
Τοὔνεκεν ἀτρεκέως μάλα τοι ἐρέω τὰ ἕκαστα.
Φράζεο νῦν ἥρως Ἑκατηβόλε μῦθον ἐμεῖο.
Αὐτὴ γαῖα μέλαινα πολυκλαύτοισι βροτοῖσι
Τίκτει καὶ κακότητα καὶ ἄλγεος ἄλκαρ ἑκάστου·
Γαῖα μὲν ἑρπετὰ τίκτε, τέκεν δ' ἐπὶ τοῖσιν ἀρωγήν.
Ἐκ γαίης δὲ λίθων πάντων γένος, ἐν δ' ἄρα τοῖσι
Κάρτος ἀπειρέσιον καὶ ποικίλον. ὅσσα δύνανται

Ῥίζαι,

Nutricis in ſinu plorando lac efflagitantis.
Oportet verò te conſtanti animo fovere eum ſemper
Ne fortè te non advertente, clam, cùm timore correptus eris,
E manibus in terram cadens, iram difficilem excitet
Immortalium. Tum aude de vaticiniis eum interrogare.
Omnia enim exponet tibi vera, Eumque poſtea
Propius ad oculos admovens, quando laveris,
Intuere. Deo enim correptum & exanimem invenies.
Sic etiam Atridis expugnatam fore patriam indicavit
Laomedontiades, vatidico lapide fretus.
Tibi verò & alias vires Sideritis recenſebo:
Serpenti enim omnino trementi ſimilis eſt,
Tuum verò animum longe major & inſomnis occupavit
Timor, Philoctetes, dum ſemper oculis obverſabatur ſerpens.
Quamobrem etiam ſine prudente Palamede nunquam
Voluit preces fundere, ſupplicans, ut aliquod ſibi indicaret
Fomentum, quo ſi quando terram matrem, venator
Peragraret, album ſerpentum genus fugare poſſet.
Illi verò hic, Latonæ filium Phœbum teſtem ſuorum verborum
Vocans, dixit ea, quæ tibi nunc enarrabo:
Benè me puerum adhuc docuit intonſus Phœbus eloqui
Vaticinia, magnumque jusjurandum juſſit primùm jurare,
Nunquam me dicturum falſos ſermones hominibus.
Quamobrem ſingula quæ tibi dico, veriſſima ſunt.
Nunc referas quæſo, ô Heros longe, jaculans, ſermonem meum.
Ipſa terra nigra miſeris hominibus
Parit & mala, & ſimul uniuscujusque mali remedium: (media-
Terra quidẽ reptilia peperit, peperit verò etiam adverſus ea re-
Ex terra verò omne genus lapidum, in quibus (re poſſunt
Immenſum robur & variũ inſitum eſt. Quanta cumque præſta-

Radi-

Ῥίζαι, τόσσα λίθοι. μέγα μὲν σθένος ἔπλετο ῥίζης,
Ἀλλὰ λίθου πολὺ μεῖζον. ἐπεὶ μένος ἄφθιτον αἰεὶ
Γεινομένῳ μήτηρ καὶ ἀγήραον ἐγγυάλιξεν·
Ἡ δὲ καταθνήσκει τε, μινυνθάδιον θαλέθουσα,
Καί τόσον αὐτῆς καρπὸς ἐφ' ὁππόσον ἔμπνοός ἐστιν.
Ἢν δὲ κ' ἀποπνεύσῃ, τίς ἔτ' ἐλπωρὴ παρὰ νεκρῆς;
Ἐν μὲν δὴ βοτάναις περὶ λυγρῶν τε καὶ ἐσθλῶν
Δήεις ἐν δὲ λίθοις ἄτην οὐ ῥεῖά κεν εὕροις,
Ἤτοι ὅσαι βοτάναι, τόσοι λίθοι. ἀλλὰ σύγ' ἥρως,
Λαῒ σιδηρείτῃ πεφυλαγμένος ἑρπετὰ πάντα
Θαρσαλέως, εἰ καί τοι ὁμιλαδὸν ἀντιόωσιν,
Ἔρχεσθαι διὰ μέσσα, κελαινῆς οὐκ ἀλεγίζων
Λώβης· οὐ γὰρ ἔτι σφι θέμις μεμνῆσθαι ὀδόντων,
Οὐδ' εἴκεν στείχοντες ἐνιχρίμπτοιντο πόδεσσι.
Οὐδὲ γὰρ οὐδὲ μένειν περ ἔτι προφανέντα δύνανται,
Ἀλλὰ μετὰ σφίσι θάμβος, ἐλαυνομένοισι δ' ὁμοῖα
Ἔσσυνται· τὰ δὲ καίπερ ἐναντίον ἀΐξαντα,
Ἂψ ὀπίσω παλίνορσα μεθερπύζειν μενεαίνει.
Καὶ σφίσιν ἐξαπίνης ῥόθος ἵσταται, οὐδέ τι πρόσσω
Νήχεται, ἀλλ' ὀρέγοντα πέλας περιμήκεα δειρὴν
Γλώσσῃσιν μεμάασι περισσαίνειν, σκύλακες ὥς.
Πολλάκι καὶ κατέδαρθε δαφοινῶν ἄγχι δρακόντων
Ἀμφὶ κυνηγεσίῃσι μένων ἐν τάρφεσιν Ἴδης
Θηρητὴρ Εὔφορβος, ἀρωγῇ τῇδε πεποιθώς.
Δῶκα γὰρ ἀντομένῳ λίθον ἱερόν· οὐδέ ποτ' αὐτῷ
Ἐκ μάλα περ πολλῶν ἐλθεῖν κατεναντίον ἔτλη.
Τέρπετο δ' Εὐφόρβῳ περικαλλεῖ φέρτατος ἀνδρῶν
Αἰχμητῇ Μελάνιππος, ἀνεψιὸς ἐσθλὸς ἐμεῖο,
Εἶδος ἀμώμητος, καὶ εἴδει κάρτος ἀρείων,
Αἰζηοῦ ποθέων, δουρικλυτοῦ, εὐπλοκάμοιο.

Τοὔνεκα

*Radices, tanta etiam lapides. Magna quidē vis in est radicibus,
Sed lapidibus multo major, quandoquidem incorruptas vires
Filio lapidi mater, & nunquam senescentes præbuit:
Radix verò moritur, exiguum admodum in tempus virens.
Et tamdiu fructus ex ea haberi potest, quamdiu vitam habet.
Si verò exspiraverit, quam nam amplius spem in mortuam collo-
Verno quidem tempore herbas alias damnosas, alias utiles (cabis?
Invenies, in lapidibus verò agrè perniciem aliquam reperies,
Jam verò quot plantæ, tot etiam lapides sunt. Tu verò heros,
Lapide siderite armatus, per reptilia omnia
Audacter, quamvis catervatim tibi occurrant,
Media transi, nigram non extimescens
Mortem. non enim illis integrum amplius erit recordari den-
Non, si vel maximè impetum in te faciant. (tium,
Sed neque persistere amplius poterunt, quando apparuerint,
Et tremor ea occupabit, fugatisque similia
In cursum incitabuntur. Quodsi in te irrumpere velint,
Properè retro cedere cupient.
Et eorum confestim tumultus reprimetur, neque ulterius
Procedet, sed extendentia appropinquando longam cervicem
Linguis parata erunt adulari, haud secus ac catuli.
Sæpè dormivit cædis avidos juxta dracones
In venatione persistens in densitatibus Idæ
Venator Euphorbus, hoc fretus auxilio.
Dedi verò ei supplicanti lapidem sacrum. Neque unquam ipsi
Ex magno numero vel unus occurrere ausus est.
Delectabatur verò Euphorbo formoso pariter ac bellicoso opti-
Menalippus, consobrinus meus bonus, (mus vir
Specie inculpatus, & forma valdè excellens,
Juvenem amans, hasta inclutum, & eleganter comatum.*

Τοὔνεκα καὶ μετὰ θῆρας ἀλώμενος, οὔποτε νόσφι
Ἔσθενεν Εὐφόρβοιο φέρειν Ἱκετάονος υἱός·
Ἀλλ' αἰεὶ λασίοισιν ἐν οὔρεσιν ἀντιθέοιο
Καρχαλόων κούροιο μετ' ἴχνια σύν τε κύνεσσιν
Ἕσπετο σύν θ' ἑτάροις, ἔθελέν τε μιν οἶος ἕπεσθαι.
Ἦμεν κέν μιν πολλὰ πατὴρ μενέαινεν ἐρύσσειν,
Ἀγχαλόων ἑὸν υἷα φίλον θήρεσσι μάχεσθαι·
Καὶ Πριάμοιο βίη μιν ἐρήτυεν. οὐδ' ὅγε θυμῷ
Πείθετο. τίς κ' ἐθέλεσκε τότ' Εὐφόρβοιο λιπέσθαι,
Ῥεῖά γε μὴν ἀέκοντα μέλας ἠρύκακεν ὕδρος,
Νέρθεν ὑπὸ κνήμης ὀλεσίμβροτον ἰὸν ἐλάσσας.
Τὸν μὲν ἔτ' ὦ ὀλοΐτερος οὐ λάθεν, οὕνεκ' ἔμελλεν
Αὖθι λελείψεσθαι· τό ῥά μιν καὶ μᾶλλον ἔτειρεν.
Οἰκτείρων δ' ὀρέγοντα χέρας ποτὶ γοῦνατ' ἐμεῖο,
Αὐτοῦ τοῦδε λίθοιο διατρίψαντα κέλευσα
Λευκαλέην ἄχνην ἐπιπασσέμεν ἕλκεϊ λυγρῷ·
Καὶ ῥα μάλ' αὐτίκα φῶτα κραταιὴ κάλλιπε νοῦσος.
Τοῖον γαῖα βροτοῖσιν ἀρηγόνα τίκτεν ὀρείτην,
Ὅστε καὶ οὐταμένοις ἄκος ἡρώεσσι κομίζει,
Καὶ στείρῃσι γυναιξὶ τεκεῖν φίλα τέκνα δίδωσι.
Ποικίλα γὰρ θνητοῖσι θεοὺς ἔρδειν ἀγορεύω.
Ὡς καὶ ἐμῆς ποτε μητρὸς Ἀβαρβαρέης ἐπάκουσας,
Ἀνδρῶν δὲ μάλα νοῦσον ἐπισταμένης ἀκέσασθαι,
Βουκολίδης Εὔφορβος ἀγαυοῦ φάσκεν ὀφίτου
Φάρμακα, μὴ μοῦνον ὄφεων κατένωπα δύνασθαι.
Ἀλλὰ καὶ ὀφθαλμοῖσι φέρειν φάος, ἠδὲ βαρεῖαν
Ἐκ κεφαλῆς ἕλκειν ὀδύνην. ἤδη δέ μιν ἀνδρῶν
Οὔασι δηθύνοντα καθήρας ὤπασεν αἶψα
Καὶ δὴ καὶ λεπτῆς ἐριήκοον ἔμμεν' ἀοιδῆς.
Ἢ δὴ καὶ εἶναι φῶτα, χόλῳ χρυσῆς Ἀφροδίτης,

Ἔργα

Quamobrem etiam cùm in venationem erumperet, nunquam ſine
Euphorbo cupivit exire Icetaonis filius.
Sed ſemper hirſutis in jugis Divino
Se oblectans puero, ferarum veſtigia cum canibus
Et amicis ſequebatur, cupivitque ſolus illum ſequi.
Sanè quidem illum pater cogitavit retrahere,
Dolens, filium ſuum dilectum cum feris pugnare,
Et Priami potentia eum retinuit. Neque verò hic animo
Perſuaſus eſt. Quis enim tunc Euphorbum relinquere potuiſſet?
Facile tamen illum invitum ater retraxit hydrus,
Sub tibia lethale ſpiculum imprimens.
Ille verò miſer non ignoravit, quòd hanc ob cauſſam (afflixit.
Rurſus ab Euphorbo ſit relinquendus, id quod adhuc magis eum
Ego verò miſertus ejus, extendentis manus ad genua mea,
Juſſi lapidis hujus ipſius contriti
Exiguum pulverem inſpergere vulneri gravi.
Et ſtatim reliquit virum vehemens morbus.
Talem terra peperit hominibus auxiliatorem monticolam,
Qui & vulneratis heroibus remedium affert,
Et ſteriles mulieres parere charos liberos facit.
Varia enim mortalibus Deos præſtare dico. (edoctus,
Quemadmodum etiam aliquando à matre mea Abarbarea
(Quæ in depellendis morbis hominum valdè erat perita)
Bucolides Euphorbus, admirabilis dixit Ophiti
Pharmaca non ſolùm adverſus ſerpentes valere,
Sed & oculis lumen afferre, gravemque
Capitis dolorem lenire. Et certè virum quendam
Auribus impeditum ſanans, reddidit ſtatim
Etiam exilis vocis acriter audientem.
Tum etiam virum quendam, ira aureæ Veneris

Ἔργα πρὸς ἱμερόεντα γάμων ἀμενηνὸν ἐόντα,
Μεμνῆσθαι φιλότητος ἀκεσάμενος προΐαλλεν.
Ἐν πυρὶ δ' εἴ κε βάλοις μιν, ὀδωδὴν ἑρπετὰ τοῖο
Φεύξεται, οὐδ' ἔτι πω μενέει σχεδὸν, οὐδ' ἐνὶ χειῇ.

ΓΑΓΑΤΗΣ.

Φεύγει καὶ κνίσῃσι γαγάτην ὀρνυμένῃσι
Τείροντα θνητοὺς ἐχεπευκεῖ πάντας ἀϋτμῇ.
Χροιῇ δ' αἰθαλόεις, πλατὺς, οὐ μέγας ἔπλετ' ἰδέσθαι.
Καρφαλέῃ δ' ἴκελον πεύκῃ φλόγα δῖαν ὀρίνει.
Ἀλλ' ὀλοὸν ποτὶ ῥῖνας ἄγει μένος· οὐδ' ὅγε φῶτας
Λήσεται ὧν κ' ἐθέλοις ἱερὴν ἀπὸ νοῦσον ἐρύξαι.
Γνάμψει γὰρ σφέας αἶψα χαμαὶ προπρηνέας ἕλκων.
Οἱ δ' ἄρ' ἀπὸ σφετέρου πεπαλαγμένοι ἄφαρ οἴμοιο,
Στρωφῶντ' ἔνθα καὶ ἔνθα κυλινδόμενοι κατὰ γαῖαν.
Τοῖσι δὲ χωομένη φρένα τέρπεται ὁπότ' ἴδησι
Πήματα πάσχοντας κεραὴ πόδας ὠκέα μήνη.
Θηλυτέρη δ' εἴκεν πολυφάρμακον ἀμφιβεβῶσα
Καπνὸν, ὑπὸ σπλάγχνοισιν ἀΐσσοντα δέχηται,
Ἀθρόος ἔνδοθεν ὦκα μέλας καταλείβεται ἰχὼρ,
Ὅστε γυναικείῃ νεάτῃ μίμνων ἐνὶ γαστρὶ
Κέκλεισται· τότε δ' αὐτὸν ὑπὸ πνοιῇσι λίθοιο
Δερκόμενοι γάννυνται, ἄφαρ δόλον ἐκλύζοντα
Νηδύος· ἐκ γὰρ νοῦσον ἀπειρεσίην ἀλεείνει.
Ἄλλά τε πόλλ' ἐπὶ τοῖσι γαγάτην θέσκελα ῥέζειν
Οἶδα· σὲ δὲ κνίσῃσιν ἐλαύνων ἑρπετὰ τέρψει.

ΣΚΟΡΠΙΟΣ.

Σκορπίε, σεῖο δὲ λᾶαν ὁμώνυμον ἔμμεναι ἥρως
Ἀγλαὸς ὠρίων οὐκ ἔκλυεν· ἢ γὰρ ὀΐω

Πι-

Ad opera desiderabilia nuptiarum ineptum
Recordari amoris fecit, sanumque à se dimisit.
In ignem si conjeceris eum, odorem ejus reptilia (*tibulis.*
Fugient, & nullibi ferè persistere poterunt, nec in ipsis suis la-

GAGATES.

FUgiunt etiam reptilia graveolentem Gagatem
Vexantem mortales omnes pestilenti afflatu.
Colore igneo, planus, non magnus apparet.
Tædæ aridæ similem flammam emittit;
Sed ad nares exitiosum putorem exhalat, neque hic viros
Ignorabit quos, an sacro morbo laborent, probare velis,
Confestim enim eos incurvabit, præcipites humi prosternens,
Hi verò sensuum suorum privatione, inquinati
Versabunt se hinc & inde volutantes in terra.
His verò, irata, animo delectatur, quando videt
Ærumnis succumbentes, cornuta, pedibus celera luna.
Fœmina verò, si quando medicum ejus coarctans
Fumum, sub visceribus exsurgentem receperit,
Confestim ex internis partibus nigra sanies destillabit;
Quæ in infimo ventre mulierum restans
Includitur. Tunc verò afflatu lapidis
Tam facilè malum ventris effluens adspicientes,
Gaudent, gravem enim simul morbum expellit.
Præter hæc alia multa gagatem miracula efficere
Novi, Te verò fumo reptilia fugans, delectabit.

SCORPIUS.

SCorpie, homonymon tui lapidem esse, heros
Celebris Orion non audivit. Certè enim arbitror

Πικρῇσιν τότε γυῖα πεπαρμένος ἀμφ' ὀδύνῃσι,
Μᾶλλον σφωϊτέρων κεν ἐκεῖνα θελεσκέμεν ἄστρων.

ΚΟΡΥΦΩΔΗΣ.

Οὐ δ' ὅγε κορσιόεντα λίθον κλύεν, οὕνεκα μιχθεὶς
Δερμέος ἐν σκορόδοιο καρήατι τοξευτῆρα
Ἢ πεδανῶν ὤκιστα βελέμνων σκορπίον εἴργει.
Τὸν μὲν ἔσω κόρσῃ μάλ' ἐοικότα φημὶ βροτείῃ,
Παύειν ὀξυτάτω τετριμμένον ἄμμιγα βάκχῳ,
Ἀμφίπολον θανάτοιο κελαινῆς ἀσπίδος ἰόν.
Μέτρῳ δ' ὅς κεν μίξειεν ῥοδόεντι ἐλαίῳ,
Βάψας ἐκ πυρὸς ὀπὸν, ἐναυχενίαις ὀδύναισι
Ἄλκαρ ἄγει. μέλιτος δὲ μετὰ γλυκεροῖο κερασθεὶς,
Ὕδατος ἀτηρὴν ὀλέκει κατὰ γαστέρος ὕλην,
Ἥτε καταίγδην ὑπὸ νέρτερα νηδύος ἀνδρῶν
Δυομένη, φέρει οἶκον ἀεικέα βουβώνεσσι.

ΚΟΥΡΑΛΙΟΝ.

Ἴσθι δ' ἀμαλδύνειν σκορπήϊα κέντρα δύνασθαι
Καὶ Περσηΐδαο μένος μέγα κουραλίοιο,
Ἠδὲ παλαμναίην ἀνεμώλιον ἀσπίδα θεῖναι.
Τοῦδε δέ μοι πάντων πελώσιον ὅσσα φύονται,
Φοῖβος ἀκειρεκόμης φύσιν ἔμμεναι, ἐξ ἑτέροιο
Μυθεῖτ' εἰς ἕτερον στρωφώμενος εἶδος, ὅπις τοι
Ψεῦδός κεν φαίη, τόδ' ἐτήτυμον αἶψα τετύχθαι·
Χλωρὴ γὰρ βοτάνη πρῶτον φύει· οὐδ' ἐνὶ γαίῃ,
(Ἥν γε φυτῶν ἴσμεν στερεὴν τροφὸν) ἀλλ' ἐνὶ πόντῳ
Ἀτρυγέτῳ, ἵνα φῦκι', ἵνα βρύα γίνεται ἐλαφρά.
Αὐτὰρ ἐπεί κ' ἔλθῃσι μαραινομένη ποτὶ γῆρας,
Ἤτοι μὲν οἱ φύλλα περιφθινύθουσιν ἀφ' ἅλμης.

Αὐτὴ

Tum cùm amaris circa membra doloribus correptus esset,
Illum potius, quàm astra tua appetiturum fuisse.

CORYPHODES.

NEq; hic de crinito lapide quicquam audivit, quod mixtus
Acri allio, insecta capite vulnerantia, aut jaculatorem
Celerem firmorum telorum scorpium arceat.
Hunc quidem ego capillitio humano admodum similem dico.
Sedareque, generosissimo contritum vino,
Ministrum nigræ mortis aspidis spiculum.
Modicè verò siquis miscuerit rosaceo oleo,
Inungens se fervente hoc succo, colli doloribus
Remedium affert. Et immixtus dulci melli,
Aquæ nocivam materiam per ventrem dissipat,
Quæ cum impetu ad inferiora ventris virûm
Delata, tumorem affert indecentem inguinibus.

CORALIUM.

SCias verò aculeos scorpiorum delere posse
Etiam Perseidis magnam vim Coralii,
Atque mortiferam aspidem irritam reddere;
Hujus enim, ex omnibus quæ nascuntur, nobilissimam
Naturam esse, Phœbus intonsus, dum exalia
In aliam commutatur speciem, mihi dixit, quod quidem quis
Falsum dixerit, sed tamen verum est.
Viridis enim herba primùm nascitur; neque verò in terra,
(Quam quidem Plantarum novimus firmam esse nutricem) sed (in ponto
Sterili, ut algæ, ut musci tenues.
Sed postquam marcescens pervenerit ad senectutem,
Tunc quidem folia ejus corrumpuntur à mari;

Αὐτὴ δ' ἐν βένθεσιν ὑπὸ φλοίσβοιο θαλάσσης
Νήχεται, ὄφρα κύματ' ἀποπλύσοι αἰγιαλόνδε.
Ἔνθα δ' ἄρ' ἐξαπίνης μιν ἀναπνεύσασαν ὑπ' αἴθρην,
Βάζουσ', οἵπερ ἴδοντο, κρατυνομένην ὁράασθαι.
Δηρὸν δ' οὐ μετέπειτα πάγῳ περιπαχνωθεῖσα
Πετροῦται, ἢ χερσὶν ἐνιχριμφθέντα τέῃσι
Ἀμφαφάεις λίθον ὃ πρὶν ἔχων ὑγρὸν δέμας ἦεν.
Σχῆμα μὲν οὖν βοτάνης ἔτι οἱ μένει οἷον ἔην περ,
Οἵ τε κλάδοι, ὅσα τέ σφιν ἀκρόδρυα περιπεφύασι,
Ἥτέ οἱ ἐβλάστησε καὶ ἐτράφη εἰν ἁλὶ ῥίζα.
Φλοιός θ' ὅσπερ ἔην, φλοιός κεν λάϊνός ἐστι.
Τερπωλὴ δ' ἰδία θεωμένου ἐς φρένα σεῖο
Βήσεται· ἐγὼ δ' οὐκ οἶδ' ὅ, τι μοι θελγητρον ἰδόντι
Αἰὲν ἐπὶ πραπίδας καταλείβεται· οὐδὲ δύναται
Ὥστε κορεσθῆναι θεωμένου, ἀλλά γε θάμβος
Σεύεται ἐνὶ στέρνοισιν ὀϊομένου τέρας εἶναι·
Καί οἱ πιστεύων περ, ἔολπέ μιν εἶναι ἄπιστον.
Ἀλλά τε Γοργείην μὲν ἐτώσιον ἀνθρώποισι
Σμερδαλέην κεφαλὴν φάτις ἔμμεναι· οὐδ' ἄρα Περσεὺς
Ὠκυπέτης πέλεται ψευδὲς τέρας ἡγήσασθαι.
Γοργόνα γὰρ Περσίδα δρακοντοέθειραν ἀκούεις
Ἄλαντος νεάτοισιν ὑπὸ κρημνοῖσι δαμῆναι,
Παρθένον ἀργαλέην ἐρεβώπιδα, κῆρα μέλαιναν
Ἀνθρώπων οἷσίν κεν ἐπ' ἀνδροφόνω βάλεν ὄσσε·
Οἱ μιν δεῖμα πέλωρον ἀνάσχετον ἀθρήσαντες
Αἶση λαΐνεοι τεθνειότες ἑστήκασιν.
Τὴν δ' οὔτ' εὐρύστερνος ἐναντίον Ἀτρυτώνη
Δέρκεσθαι μενέαινεν, ἀδείμαντός περ ἐοῦσα,
Χρυσαόρῳ Περσῆϊ φονευομένην περ ἰδέσθαι,
Οὔτε κασιγνήτῳ κέκλετο κρατερόφρονι φωτί.

Ipſa verò in profunditatibus perſtrepentis maris
Natat, donec fluctus eam exſpuant in littus.
Inde de repente eam, ſpirante ab æthere,
Dicunt, qui viderunt, induratam apparere.
Haud multo verò poſt, glacie ſuperinducta
In petram degenerat, & manibus admovens tuis
Contrectabis lapidem qui anteà liquidum erat corpus.
Figura quidem herbæ permanet ipſi, quam ante habuit,
Tum etiam rami, & quicunque ipſi adnati fuerant fructus,
Et quæ illam formavit & nutrivit in mari radix.
Cortexque qualis erat, talis etiam eſt cortex lapideus.
Solida verò delectatio, ſi videris, animum tuum
Occupabit. Ego *verò neſcio quid amœni, quoties adſpicio,*
Semper in pectus meum deſcendat. Neque poſſunt
Oculi ſatiari ſpectaculo, ſed tamen ſtupor
Quatit mentem, arbitrantem portentum quoddam eſſe.
Et licet ipſi credam, tamen fidem habere dubito.
Gorgonis quidem fruſtra hominibus
Horribile aſpectu caput fuiſſe dicunt: Aſt minimè Perſeus
Celer volatu, falſum monſtrum putandus eſt.
Gorgonem enim Perſidem, draconibus crinitam, audis
Atlantis extremis ſub præcipitiis interfectam fuiſſe,
Virginem moleſtam & infernalis aſpectus, Fatum nigrum
Hominibus, in quoscunque truculentos jecit oculos,
Qui illam ut portentum monſtroſum & inſupportabile aſpicien-
Miſero fato lapidei, mortui conſtiterant. (tes,
Illam verò nequaquam robuſta minerva coram
Ad ſpicere voluit, impavida licet fuerit,
Neque à Perſeo, aurato enſe inſigni, ut & interfectam adſpice-
Fratre, magnanimo viro, perſuaderi potuit. (ret,

Ἀλλὰ δόλῳ θήρειον ἀφάρπασεν αὐχένα κούρης,
Ἧκα μάλ᾽ ἐξόπιθεν γαμψώνυχον οὐ προϊδούσης
Ἀμφιβαλὼν ἅρπην κυλλωνίδα λευκανίῃσι.
Τῆς δ᾽ ἄρα καὶ φθιμένης περ ὀλέθριος ἔσκεν ὀπωπὴ,
Καὶ συγεροῦ Κρονίδαο μολεῖν ὑπὸ δῶμα κελαινὸν
Πολλοῖς αἴσιμον ἔπλετ᾽ ἐναιρομένης ὑπὸ νεκρῆς.
Ἀλλὰ τότ᾽ αἰγιαλόν δε φόνῳ πεπαλαγμένος ἥρως
Ἐλθὼν εἰσόκε λύθρον ἀποπλυνέειε θαλάσσης
Θερμὴν ἐξ ὁμάδου κεφαλὴν ἔτι καὶ τρομέουσαν,
Γοργείην κατέθηκεν ἐπὶ χλοεραῖς βοτάναισι.
Ὄφρα δ᾽ ὅγ᾽ ἐν δίνῃσιν ἀνεψύχεσκε θαλάσσης
Στείχων ἐκτ᾽ ὀλοοῖο πόνου δολιχῆς τε κελεύθου,
Τόφρα δὲ πορφυρέοιο διαινόμενοι κορέσαντο
Αἵματος οἵ ῥα κέχυντο χαμαὶ ὑπὸ κρᾶατι θάμνοι.
Ἀμφὶ δ᾽ ἄρα σφιν αἶψα θοαὶ πόντοιο θύγατρες
Λύθρον ἐπεσσύμεναι θάμνοις περιπήγνυον ὧραι.
Πήγνυον ὥστε σε πάγχυ λίθον στερεὴν ὀΐσασθαι·
Οὐδέ τ᾽ ἔην ὀΐσασθαι, ἐπεὶ στερεὴ λίθος ἦεν.
Ἐκ δ᾽ ὄλεσεν βοτάνης ὑγρὸν δέμας. ἀλλὰ καὶ ἔμπης
Οὐλομένης πάμπαν βοτάνης οὐκ ὤλεσεν εἶδος.
Τὴν μὲν ἄρα χροιὴν ἐξ αἵματος ἔσχεν ἐρυθρήν.
Ἀμφασίη δ᾽ ἥρωα λάβε θρασὺν, ὡς ἐνόησε
Ἐξαπίνης μέγα θαῦμα· τὸ καὶ πέλας αἶψα κιοῦσα
Διογενὴς πολύμητις ἐθαύμασεν ὀβριμοπάτρη.
Θῆκε δ᾽ ἀδελφειοῦ κλέος ἄφθιτον, ὥς κε πέλοιτο
Αἰεὶ κοραλίου προτέρην φύσιν ἀλλάσσεσθαι.
Ἐν δὲ βίην οἱ δῶκεν ἀπειρεσίην Ἀγελείη
Φῦλα φυλασσέμεναι κρυερὴν εἰς φῦσιν ἰόντα.
Ἣν δολιχὴν ἕρπων ἐς ἀταρπιτὸν εἴ μιν ἔχοι τις.
Ἢ πεζὰ ἄλα δῖαν ἐϋσσέλμῳ ἐνὶ νηΐ.

Sed dolo ferinam abstulit cervicem puellæ,
Clam à tergo, non advertentis injiciens
Gutturi, falcatam falcem curvam.
Hujus etiam, quamvis mortuæ, facies perniciosa erat,
Et horribilis Plutonis nigram in domum descendere
Multis fatale erat, occisam propter & mortuam.
Ast tunc ad littus, cœde contaminatus heros
Accedens, donec cruorem in mari abluisset,
Calidum adhuc ex tumultu caput & tremens,
Gorgonium deposuit super virides herbas.
Cùm verò in gurgitibus maris se refrigerasset,
Egressus est ex periculoso labore & dolosa via:
Tunc verò purpureo sanguine humectati replebantur
Qui substrati jacebant capiti frutices.
Circa verò eas, confestim celeres ponti filiæ
Pulchritudines accurrentes, cruorem firmiter compegerunt.
Et ita compegerunt, ut solidum lapidem existimasses.
Neque verò opus erat existimare, siquidem solidus lapis erat.
Perdidit verò ex herba viridem colorem. Sed nihilominus ta-
Omnino deperditæ herbæ non perdidit speciem, (men,
Verùm colorem ex sanguine habuit rubrum.
Stupor verò heroem cepit intrepidum, postquam conspexit
Ex improviso magnum miraculum; quod etiam statim accurrens
Jove prognata, prudens admirata est Minerva,
Immortalemque fratris gloriam fecit, ut constitutum sit
Coralio, semper priorem naturam mutare.
Facultatemque ipsi indidit immensam prædatrix Minarva
Homines servandi, frigidum elementum ingredientes,
Si quis eam dolosam ingressus viam, secum habuerit,
Aut trajecerit mare divum bene compacta in navi.

Καὶ γὰρ Ἐνυαλίοιο θοὸν δόρυ μαινομένοιο,
Καὶ χόλον ἀνδροφόνον φεύγειν ἀπὸ ληϊστήρων,
Καὶ πολιὸν Νηρῆα κυκώμενον ἐξυπαλύξαι
Ἐσθλὴ κουραλίοιο βίη θνητοῖσιν ὀπάσσαι.
Γλαυκὴν δ' ἐχεκύδοιμον ἀταρβέα Τριτογένειαν
Σφωϊτέρων καμάτων ἐπαμύντορα κικλήσκουσιν.
Φάρμακα δ' ὅσσα πέλονται ἀτάσθαλα, καὶ κατάδεσμοι,
Ἀρχαί τ' ἀγνάμπτοισιν ἐριννύσι πάγχυ μέλουσι,
Εἴτε μύσος κρύβδων οἰκοφθόρον οὐκ ἐνόησεν
Ἀνὴρ, εἴθ' ἴσα λύμαθ' ἐπὶ σφίσιν ἠδ' ἐπαοιδὰς
Σχέτλιοι ἀλλήλοισι μεγαίροντες τελέουσι,
Πάντων ἀντίλυτρον δήεις κρατερώτατον εἶναι.
Κόψας οὖν σπείροι ξανθῇ δημήτερι μίσγων.
Καί τοι λοιγὸν ἅπαντα τεῆς ἀπάνερθεν ἀρούρης,
Αὐχμούς τ' ἐξελάσει σταχύων γλάγος ἐκπίνοντας·
Ἀτηρήν τε χάλαζαν, ἀπειρεσίοισι βελέμνοις
Ἀγρῷ πῆμα φέρουσαν ἀμήχανον, ἐξακέσασθαι.
Βρωτήρων τ' ἐπὶ τοῖσι γένος πάντων ἀλαπάζει,
Εὐλάς τε, κάμπας τε· καὶ αἰθερίην ἐρυσίβην,
Ἥτε κατουρανόθεν πλαζομένη ποτὶ καρπὸν ἐρυθρὴ,
Ἀμφὶ περὶ σταχύεσσι περισωέχουσα κάθηται.
Ἔκ τε μυῶν ἀγέλας, ἐκ τ' ἀκρίδος ἄπλετον ἔθνος
Ῥαίσει· καὶ Κρονίδαο παραΐσσουσι κεραυνοί,
Παιδὸς ἐοῦ κλέος οὔτι ἐτώσιον ἁζομένοιο·
Κεῖνο πολὺ πρώτιστον ἀνερχομένοις περιτήθεν
Κουράλιον θνητοῖσι φέρων πόρεν Ἀργειφόντης.
Τιμὴν δ' ἀκρήτοιο μέθ' οἴνου πινέμεν αἰεὶ
Μέμνεο, πευκεδανοῦ ἕνεκ' ἀσπίδος, ὥσπερ ἔειπον.

Et furentis martis celerem hastam,
Et homicidialem iram effugere prædonum
Et canum Nerea turbulentum evitare
Egregia Coralii vis hominibus dabit.
Glaucam verò, turbas excitantem, intrepidam Tritogeniam
Suorum laborum adjutricem invocant.
Venena verò quotquot reperiuntur perniciosa, & incantamenta,
Diræque quæ inflexibilibus furiis penitus curæ sunt,
Vel si odium occultum, domus perniciem, non considerat
Vir, vel quascunque noxas in illos & incantationes
Perniciosi homines alienæ rei invidentes effutiant,
Omnium horum remedium præsentissimum esse invenies.
Si semen abscideris, & cum flava Cerere miscueris,
Omnem tibi pestem exarvis tuis
Squaloresque expellet, spicarum succum exhaurientes.
Noxiamque grandinem, infinitis telis
Agro sortem inferentem insanabilem.
Vermiumque insuper omne genus dissipat,
Eos, qui in ulceribus nascuntur, erucasque: & æthercam rubiginem,
Quæ cœlitus delapsa, ad fructus, rubra,
Et undiquaque circa spicas applicata sedet.
Muriumque agmina, locustarumque innumeram gentem
Profligabit. Et Jovis auffugiunt fulmina,
Filiæ suæ gloriam non inanem venerantis.
Illud longè excellentissimum, iter facientibus
Hominibus coralium attulit Argicida.
Tu verò cum mero bibere semper
Memento, contra perniciosos serpentes, ut jam dixi.

ΑΧΑΤΗΣ.

Καὶ πολυειδέα πῖνε μετ' ἀκρήτου βρομίοιο,
Μορφὴν παντοίην ἐπιειμένον ἐσθλὸν ἀχάτην.
Πολλὰ μὲν οὖν ῥέα γ' ἐστὶν ἀχάτου χρώματ' ἰδέσθαι.
Ἐν γὰρ οἱ δήεις ὀρόων ὑάλωπιν ἴασπιν,
Σάρδιά θ' αἱματόεντα, καὶ αἰγλήεντα μάραγδον.
Ἐν δ' ὅγε μιλτοπάρηος· ἀτὰρ καὶ χαλκὸν ἐν αὐτῷ
Δήεις, καὶ χροιὴν ἐαροτρεφέος μήλοιο.
Ἀλλ' οἷος πάντων προφερέστατος, εἴκε μιν εὕροις
Εἶδος ἔχοντα δαφοινὸν ἀμαιμακέτοιο λέοντος.
Τῷ καὶ μιν προτέροισι λεοντοσέρην ὀνομῆναι
Ἥνδανεν ἡμιθέοισι. κατάστικτος σπιλάδεσσι
Πυρσῇσιν, λευκαῖς τε, μελαινομέναις, χλοεραῖς τε.
Τὸν δ', εἰ σκορπίην ὀλοφυρόμενός τις ἀκωκὴν
Ἔλθοι, ἀερτάζειν περὶ ἕλκει κέκλεο λυγρῷ,
Ἦμιν ἐπιπάσσειν· ἀπὸ γὰρ μινύθουσιν ἀνίαι.
Ἱμερτόν τε γυναιξὶ δυνήσεται ἀνέρα θεῖναι.
Καὶ θέλξεις μύθοισι βροτούς· καὶ πάντα κομίζων
Ἄσσα κεν αἰτήσειας, ἀφίξεαι οἴκαδε χαίρων.
Καὶ νούσῳ κάμνοντα σαωθῆναι θέμις ἐστὶν
Ὅς μιν ἐνὶ σφετέρῃσι λαβὼν χείρεσσι κατάσχοι.
Δίζεσθ' οὔτοι τόν γε βιωσέμεν ἀρνήσοιτο·
Ἀλλὰ νοεῖς σὺ τῇσιν ἐνὶ φρεσὶν, οὕνεκεν αὐτοῦ
Ῥῆξε λίνον Κλωθὼ, τῷ δ' ἔρχεται ὕστατον ἦμαρ.

ΕΤΙ ΠΕΡΙ ΤΟΥ ΑΧΑΤΟΥ.

Οὐδὲ πυριφλεγέθων ἐπερήμερος ἄνδρα δαμίζων
Ἢ κρυερὸς μάρπτων πυρετὸς παρ' ἀΐδην θείησι,
Ἠὲ τεταρταίης πῆμα βραδὺ, μήποτε λήγειν,

ACHATES.

ET multiformem bibe cum mero vino
Varias formas induentem pulchrum Achatem
Facile enim perquam multi colores in eo apparent.
In illo enim invenies aſpiciens vitreæ perſpicuitatis Jaſpidem,
Sardamque ſanguinei coloris, & fulgentem Smaragdum.
In illoque eſt minium, ſed etiam æs in eo
Reperies, & verni pomi colorem.
Sed omnium utiliſſimus eſt, ſi quidem repereris
Colorem habentem fulvum indomiti leonis.
Ideoque illum Leontoſerem appellare, antiquis
Placuit ſemideis. diſtrinctus punctis
Rutilis, albisque, nigreſcentibus, viridibusque.
Hunc verò, ſi ſcorpii dolens quis aculeum
Fuerit, admoveri jube vulneri exitioſo
Aut inſpergi. Statimque dolores lenientur.
Gratumque mulieribus poterit virum reddere.
Verbisque homines demulcebis, & omnia aufferes,
Quæcunque petes, hilarisque domum redibis.
Et morbo laborantem ſanare poteſt
Qui eum in manibus ſuis tenebit,
Neque denegabit operam dare ut ille vivat.
Sed tute in animo tuo noſti, quando ipſi
Filum fregerit Clotho, tunc ultimam ei veniſſe diem.

DE EODEM.

NEque æſtuans alternis diebus rediens
Horrenda febris virum corripiens ad inferos mittet,
Aut quartanæ exitium moleſtum, nunquam ceſſare

Volen-

Βουλομένης, ἀλλ' αἰὲν ὅπη πελάσῃσι μενούσης.
Τὸν σύ γ' ἰήσασθαι δι' ἀμύμονος αὐτίκ' ἀχάτου.
Οὔλης γὰρ προτέρων πολὺ φέρτερος αἷψα δὲ σῆμα
Ἐξερέω, τόπερ ὦκα βίην δείκνυσι λίθοιο.
Ἐν γὰρ μιν κρεάεσσι βαλὼν μέσον ἑψομένοισι
Τυτθὸν ἀναχέασθαι, τὰ δὲ τήκεται ἔνδοθι πάντα.

ΕΤΙ ΠΕΡΙ ΑΥΤΟΥ

Οὐ μὲν τοι καὶ τόν δέ γε ἑρπετὰ φημὶ δύνασθαι.
Ἀλλ' ἕτερον δώσω χατέοντί τοι ἰητῆρα
Οὐρανόθεν γεγαῶτα· σὺ δ' ἐν φρεσὶ βάλλεο σῇσι.
Εὖτε γὰρ αἴγληεν σφέτερον δέμας εὐρύστερνος
Οὐρανὸς ὠμηστῆρος ὑπαὶ παλάμῃσι Κρόνοιο
Δῃωθεὶς ἔλυσεν ἀπειρεσίην ἐπὶ γαῖαν,
Αἰθέρος ἐκ δίνης πεσέειν οὐδάς δε μενοινῶν,
Ὄφρα κε πάντ' ἀΐδηλα, πολύτειχον ἀμφιπετάσσας
Νῶτον ἑὸν, τεύξῃ, θὴν δ' οὐρανοῦ ἀστερόεντος
Θυμὸν ἀνιήσας Κρόνος οὐρανὸν εἰσέτι ναίῃ·
Δὴ τότε ἀμβροσίοιο κατειβόμεναι φορέοντο
Αἵματος ὠτειλῆθεν ἐπὶ τραφερὴν ῥαθάμιγγες,
Τὰς οὐ μόρσιμον ἦεν ἀπ' ἀθανάτοιο κιούσας
Σώματος ὄλλυσθαι· μενέμεν δ' ἐριβώλακι μοίρῃ
Ἐν γαίῃ προγόνοιο θεῶν σόον αἷμα κέλοντο.
Μεῖνε μὲν οὖν, αὖον δὲ περιγλήνοι θέσαν ἵπποι
Ἠελίου· καί κεν τις ἐπιψαύων, ἐρίσειε
Λᾶαν ἔχειν ἐνὶ χερσὶν, ἔχει δέ μιν αἷμα πεπηγός.
Ἐν γὰρ δὴ χρὼς αὐτὸς ἐτήτυμος αἱματός ἐστιν,
Ἐν δὲ καὶ ὕδατι ῥεῖα δαμασθεὶς ἀτρεκὲς αἷμα
Γίνεται· αἱματόεις δὲ καὶ οὔνομα λᾶας ἔτ' ἀνδρῶν
Ἐκ προτέρων κέκληται. ἀκήρατα δ', ὡς ἐπέοικε,

Φάρ-

Volentis, sed semper, quocunque iveris, tecum permanentis.
Hanc tu sanabis statim optimo Achate.
Nullus enim inter priores multò est melior. Confestim verò si-
Dicam, quod statim vim indicabit lapidis: (*gnum*
Si enim eum in carnes coctas injeceris, (*tur.*
Et paululum intra permanserit, omnes intus carnes dissolven-

ADHUC DE EODEM.

H*Unc quidem non assero adversus reptilia aliquid posse,*
Sed alium tibi indigenti medicum dabo
Cœlitus genitum. Tu verò animum adverte.
Quùm enim splendens suum corpus, latus
Cœlus, manibus crudelis Saturni
Laceratus, devolveret in immensam terram,
E vorticibus ætheris in solum terræ decidere cupiens,
Ut omnia tenebricosa, circumjecto villoso
Suo dorso, redderet, molemque stellati cœli
Animo molestatus Saturnus imposterum habitaret.
Tunc ambrosii destillarunt
Sanguinis ex vulnere in terram guttæ,
Quas non fatale erat ab immortali manantes
Corpore, perire. Permanere verò in glebosa
Terra, matre deorum, salvum sanguinem jusserunt parcæ.
Permansit igitur. Aridum verò fecerunt eum lucidi equi
Solis. Et si quis manibus attrectet, contenderet
Lapidem se habere in manibus, habet verò sanguinem concre-
In eo enim color ipsissimus sanguinis est, (*tum.*
Atque in aqua facillimè subactus, verus sanguis
Fit. Et sanguineus lapis jam inde à majoribus
Hodienum nomine appellatur. Præsentissima verò, ut par est,
Reme-

Φάρμακ' ἔχει· νημερτὲς ἀπόρῥοιάν μιν ἀοιδοὶ
Οὐρανίην καλέουσιν ἐς ἀνθρώπους ἀφικέσθαι.
Οὐ γὰρ ὅγ' οὔπε νέην ἐθέλει θνητοῖσιν ὀϊζὺν
Ἔρχεσθαι περὶ ὄσσε, παλαιοτέρην τ' ἀπερύκει,
Μισγόμενος λευκοῖο μετὰ γλάγεος κεράσας τε
Ἰχῶρι σφετέρῳ, γλυκερῷ μέλιτι δὲ διάνας,
Ἐκ βλεφάρων ἀπὸ πᾶσαν ἄγει νόσον. ἀσχαλάᾳ γὰρ
Εἴργεσθαι θνητοὺς ὁράαν ἐρατεινὰ πρόσωπα
Πρεσβυτάτου μακάρων στροβιλοβλεφάρου βασιλῆος.
Καὶ γλώσσαισι τεῇσιν, ὁμιλήσας κυλίκεσσιν,
Ἀνδρός τ' αἰδοίων ἄκος ἔσσεται ὅς κε πίησι.
Καί μιν ἐγὼν Αἴαντι δαΐφρονι πόλλ' ἐπέτελλον,
Ἔντεσι δηρινθῆναι ἀμύμονος ἀμφ' Ἀχιλῆος
Ἐσσυμένῳ, νίκης ἐπαρηγόνα χερσὶ κομίζειν.
Καὶ κεν ὀδυσσῆος ταλασίφρονος ἀντίον αὐτῷ
Κῦδος Ἀθηναίη περσέπολις ἐγγυάλιξεν.
Ἀλλ' οὔ οἱ μοῖρ' ἔσκε παραιφαμένοιο πιθέσθαι.
Τοὔνεκα θεσπέσιόν μοι ἀθέελξεν ὄνειαρ,
Δάζετο δ' οὖλον ἄορ. ἀτὰρ σύ γε τοῖο μὲν αἶσαν
Ἄζεο πρὸς δὲ μέλαιναν ὀλιθηροῖο γενέθλην
Ἑρπετοῦ αἱματόεντα δαεὶς λίθον, αἰὲν ἑταίρους
Γινέμεναι νύμφαις ἐννηϊάδεσσι κέλευε.
Καὶ μὲν ἐγὼ λαιψηρὸν ἐμὸν θεράποντα δόλωνα
Αὐτοκασιγνήτῳ μεμαὼς φίλον Ἕκτορι θεῖναι,
Πρόφρων ὤπασα λᾶαν ὀλύμπιον αἰτήσαντι.
Αὐτὰρ ὅγ' ἐξαπίνης Τρώων προπάροιθεν ἁπάντων
Ἕκτορι πατρί τ' ἐμῷ κεχαρισμένος ἔπλεθ' ἑταῖρος.
Τοῖο δ' ἕκητί μ' ἐκεῖνος ἀμοιβαδὸν ἀρέσασθαι
Ἱέμενος, λιπαρήϊον ἐπίκλησιν παρὰ πατρὸς
Ὤπασεν ἀφνειοῖο λαβὼν λίθον, ὅν ποτ' ἄρ' αὐτὸς

Ἐλθὼν

Remedia in se continet. Verè enim ex cœlesti influxu
Vates dicunt ad homines delatum esse.
Non enim ille neque novos permittit dolores
In oculos hominum irruere, veteresque arcet,
Immixtus albo lacti, & confusus
Cum sero lactis, Dulci verò melle liquefactus
Ex palpebris omnem arcet morbum. Molestè enim fert
Arceri homines à conspectu amabilium vultuum
Maximè nati immortalium, obliquum aspectum habentis Regis.
Et ex ossium commissuris, poculis immixtus,
Virilibusque dolorem expellit, si quis eum biberit.
Illumque ego Ajaci bellicoso multùm commendavi,
Armis contendere inculpato cum Achille
Erumpenti, victoriæ adjutorem manibus ut secum ferret.
Ast tolerantis Ulyssis gloriam contra ipsum
Bellicosa Minerva excitavit.
Sed fata ejus non concedebant ut admonentem audiret;
Ideoque divinum meum sprevit auxilium,
Et ensem perniciosum arripuit. Tu verò tuam sortem
Meliùs venerare, contraque nigram sobolem lubrici
Serpentis, Sanguineum edoctus lapidem, semper amicos
Tuos inter Nymphas Najades versari jube.
Atqui ego velocem meum servum Dolonem
Fratri meo Hectori conciliare cogitans,
Lubens donavi lapidem cœlestem petenti.
Ille verò de repente præ omnibus Trojanis
Hectoris & Patris mei intimam in amicitiam receptus est.
Hujus caussa mihi ille vicissim gratificari,
Desiderans, Lapidem, Preciosum nomine, à patre
Divite obtinens, mihi donavit, quem quidem ille

Ἐλθὼν ἰλιόθεν κρατερὸν μετὰ Μέμνονα κῆρυξ,
Σήμαντ' ἐμεῖο παρόντος ἀνδρῶν Ἀσσυρίηθεν
Χρυσοῦ λιμήεντος ἀρείονα δεῦρο κόμιστε,
Μυρία κεῖθι μάγοισι περῶν πολυΐδμοσι δῶρα.
Εἰδ' ἄγε δέχνυσο μῦθον. ἐγὼ δὴ ἐδάην τά κε λέξω.
Πρῶτα μὲν οὖν σπένδοντας ἀναιμάκτων ἐπὶ βωμῶν,
(Οὐ γὰρ ἄγειν θέμις ἐστὶ θυηλὴν ἐμψύχοιο)
Ἥλιον εὐρύοπα κλήζειν ὕμνοισιν ἄνωγα,
Καὶ χθόνα πίειραν, πάντων τροφὸν οὐθατόεσσαν.
Δεύτερον αὖτ' αἴθωνος ὕπερ λίθον ἡφαίστοιο
Τήκειν τόνγ' ἰδίῃ τανάοις θέλγοντα δράκοντας
Ὀδμῇ, τὴν ἄρα κεῖνοι ἀνερχομένην ἐσορῶντες,
Σπερχόμενοι ποτὶ βωμὸν, ἀολλέες ἐκπρομολόντες
Χηραμόθεν, ὁρόωνται ἐφερπύζοντες ἀϋτμήν.
Αὐτὰρ ἔπειτα λίνοιο νεόπλυτα φάρεα κοῦροι
Ἑσσάμενοι τρεῖς (ὀξὺ φέρων ἄμφηκες ἕκαστος
Ἄορ) ἀναρπάζειν ὄφιν αἰόλον, ὅς κε μάλιστα
Κνίσσης ἱμείρων πυρὸς ἐγγύθι δινεύεσκε.
Τοῦ δὲ διαμελεϊστὶ δαΐζειν ἐννέα μοίρας·
Τρεῖς μὲν κικλήσκειν πανδερκέος ἠελίοιο,
Τρεῖς δ' ἑτέρας γαίης ἐριβώλου λαοβοτείρης,
Τρεῖς δὲ θεοστρόπιης πολυΐδμονος ἀψαύστοιο.
Τὰς δὲ λέβης κεράμοιο τετυγμένος αἱματοέσσας
Δεξάσθω, καὶ δῶρον ἐλάϊνον ἀτρυτώνης.
Ἡ δὲ μέθυ βρομίοιο καλεσσιχόρου καταχεύειν,
Ἐν δ' ἅλας ἀργεννοὺς βαλέειν θεράποντας ἐδωδῆς,
Ἐν δέ σφιν καὶ δριμὺν ἐπήλυδα κόκκον ἄνωγα
Μῖξαι χρυσοχίτωνα, μελαγχροίην, ἐρίτιμον.
Ἐν δὲ καὶ ὅσσα περ ἄλλα μετ' ἀλλήλοισι μιγέντα
Ἵμερον ἐς πέμπουσιν ἐδητύος ἀνθρώποισι.

Ὄφρα

Ilio profectus fortem ad Memnonem legatus,
Virtutes ejus, me præsente, expertus, ex Assyria,
Precioso auro meliorem, huc secum attulit,
Infinita illic Magis doctis elargiens dona.
Sed accipe rem omnem. Expertus loquor.
Primùm quidem accelerantes ad aras incruentas
(Non enim fas est victimam immolare animalem)
Solem latè splendentem celebrare carminibus jube
Et terram latam, omnium nutricem mammatam.
Tum verò æstuantem in Vulcanum lapidem hunc
Conjicere & liquefacere, proprio extensos demulcentem draco-
Odore. hunc illi adspicientes ascendentem fumum, (nes
Festinantes ad aram, confertim erumpentes
Ex suis latibulis, adreptantes adspectant:
Sed postea pueri, novis vestibus lineis
Amicti tres (acutum ferentes singuli ancipitem
Ensem (capere serpentem variegatum (jube) *qui maximè*
Odore delectatus, proximè ad ignem adreptat
Hunc verò membratim in novem partes divide,
Tres quidem assigna Soli omnia videnti,
Tres alias terræ glebosæ nutrici,
Tres verò vatidicæ, prudenti intactæ (Minervæ)
Has verò lebes à figulo fabricatus cruentas
Recipiat, cum munere Tritoniæ, oliva.
Tum vinum Bacchi ad choreas concitantis infunde,
Candidumque sal injice cibo,
Iisdemque acrem & peregrinum coccum jubeo
Misceri aurei coloris, nigricantem, pretiosum:
Et quæcunque alia, inter se permixta,
Appetitum excitant cibi hominibus.

Post-

Ὄφρα δ' ἐπὶ τρίποδος κρέα γαστέρι δάμναντ' ἐόντα,
Τόφρα δὲ κικλήσκειν μακάρων ἄρρητον ἕκαστον
Οὔνομα· τέρπονται γὰρ ἐπὴν κέ τις ἐν τελετῇσι
Μυστικὸν ἀείδῃσιν ἐπώνυμον οὐρανιώνων.
Ἀρᾶσθαι δὲ Μέγαιραν ἀποπρόθι παφλάζοντος
Σβέμμεναι τρίποδος κακομήχανον· ἐς δ' ἄρα σοῦ γε
Πνεῦμα διϊπετὲς ἔνδον ἄγειν ἱερὰς ἐπὶ μοίρας.
Ὁππότε δ' ἑψομένοισιν ἐπὶ κρεάτεσσιν ἵκωνται,
Δαίνυσθαι τότ' ἔπειτα κορέννυσθαί τε μεμαῶτας
Αὐτόθεν ἐκ τρίποδος. (τὰ δὲ λείψανα γαῖα καλύπτοι)
Καί σφιν ἐπισπεῖσαι λευκὸν γάλα, καὶ μέθυ ἡδὺ,
Καὶ λίπα τ', ἠδ' ἐρατόν τε μελίσσης ἄνθιμον εἶδαρ.
Καὶ στέψαι πλέξαντας ἀκρόδρυα καρποφόροιο
Παρθενικῆς ἀφελόντας ἐλαίης. μηδὲ κορέσῃς
Σφωϊτέροις πέπλοις ἐλέειν οἶκον δε κιόντας.
Μηδὲ μεταστρωφᾶσθαι, ἐπεὶ κ' ἀπὸ νόσφι τράπησθε.
Ἀλλ' αἰεὶ προτέρω εἰς ἀτραπὸν ὄσσε φέροντες,
Ἔρχεσθ' ἐς μέγαρον. μηδὲ προτιμυθήσασθαι,
Εἰ καί τις ξύμβληται ὁδίτης, ἔς τ' ἂν ἱκέσθαι
Ἐς δόμον. ἔνθα δ' ἔπειτα θυηλὰς ἀθανάτοισιν
Ἐξαῦτις ῥέζοντας, ἀρώματα ποικίλα καίειν.
Ταῦτ' ἐγὼ ἐκτελέσας, ὅσα τ' ἔσσεται, ὅσσα τε κοῦφοι
Ὄρνιθες κλάζουσιν, ἐπίσταμαι· ὅσσα τε θῆρες
Ὠμησταὶ τετράπεζοι ἐνὶ σφίσιν ὠρύονται.

Ν Ε Υ Ρ Ι Τ Ι Σ.

Ἔνθεν ἐγὼν ἐδάην καὶ βακχικὰ νεβρείταο
Δῶρα λίθου, Βρομίῳ κεχαρισμένα. τὸν περ ἔχοντες
Ἄνθρωποι θυέων τε καὶ ἱράων ἀΐουσιν
Οὐρανίδαι. γυμνῷ δὲ ῥάχιν ποδὶ πευκεδανοῖο

Postquam verò in ventre tripodis carnes coquent,
Tunc verò invoca arcana singula Deorum
Nomina. Delectantur enim quando quis in sacrificiis
Mysticum cecinerit cognomen cœlestium.
Et precare ut Megæram, à fervente
Tripode, malorum machinatricem depellant: in eosque
Divinum spiritum immittant super sacras carnes.
Quando verò super carnes coctas venerint,
Epulari tunc satiarique cupientes
Illic ex tripode, (reliquias verò terra occultabit)
Libare jube Diis album lac & meum dulce,
Et pinguedinem, & amabiles apium odoratas dapes.
Et coronari corollis ex ramis frugiferæ
Oleæ Minervæ sacræ decerptis, nexis. Neque verò satis tibi sit
Vestimentis vestris vos involvere domum redeuntes,
Sed nec respiciatis, licet à via deflectatis:
Sed semper inviam, quæ ante vos est, oculos conjicientes,
Pergite domum. Neque quicquam proloquimini,
Licet viator occurrat, donec perveniatis
Domum. Ibi tunc posteà sacra Diis
Rursus facientes, aromata varia urite.
Hæc ego postquam ita perfeci, quæcunque futura sunt, & quæ-
Leves aves clamant, intelligo. Et quæcunque feræ (cunque
Crudeles quadrupedes inter se rugiunt.

NEVRITIS.

INde novi ego etiam Bacchica nevritis
Dona lapidis, Bromio grata. Cujus possessorum
Hominum & sacrificia & preces exaudiunt
Cœlestes. Nudo verò pede, dorsum lethalis

Εἰ κέντις θλίψας, ὄφιος διὰ σάρκας ἀκάνθη
Δηώσοι σφετέρας, ὀδυνήφατος ἔσσεται αὐτῷ
Νουείτις· ἔρδε δ' ἀλόχῳ πόσιν ἱμερόεντα
Ἔνθεν καὶ κατένωπα κελαινῆς ἀσπίδος ἔγνων
Καρτερὰ φάρμακα σεῖο βροτοσσόε θέσκελα πέτρη,
Τῆς ὄνομα χροιή τε πέλει χλοεροῖο πρασίοιο.

ΧΑΒΑΖΙΟΣ.

Ἔνθεν καὶ σέο δῖε χαβάζιε πειρηθῆναι
Ἐν θυμῷ βαλόμην, καὶ σεῦ μένος οὔρον ἄεισον.
Ἄμφω γὰρ, καὶ νοῦσον ἀναψύχεις πυρόεσσαν,
Καί μοι σκορπιόθεν βεβολημένῳ ἤπια κομίζεις.
Λητοΐδη, σέο μέχρις ἐμοῦ Ποιάντιος ἥρως
Ἐσσύμενος τάδε πάντα ἀμήχανα φησὶ πιφάσκειν.
Αὐτοκασιγνήτην κεχολωμένος Ἀργυρότοξος
Κασσάνδρην ἐκέλευσεν ἀκούντεσσιν ἅπαντα
Θεσπίζειν Τρώεσσιν, ἐτήτυμά περ φρονέουσαν.
Αὐτὰρ ἐγὼ καὶ πρόσθεν ἀπώμοσα καρτερὸν ὅρκον,
Ψευδέα μήποτε μῦθον ἐνισπεῖν ἀνθρώποισι·
Καὶ νῦν ἀτρεκέως μάλα τοι λέξαντος ἕκαστα,
Ἡμετέροις ἥρως ἑκατηβόλε πείθεο μύθοις.
Ὣς ἄρ' ἔφη Πριάμοιο διοτρεφέος φίλος υἱὸς,
Ἀτρέστου θεράποντι φέρων χάριν Ἡρακλῆος.
Νῶϊ δὲ ποιήεσσαν ἐς ἀκρώρειαν ἰοῦσι
Τρηχεῖαν μάλα μῦθοι ἀταρπιτὸν ἐπρήϋναν.

ΤΕΛΟΣ.

Si quis presserit serpentis, & ille carnes ejus aculeo
Enecaverit, dolores ejus mitigabit
Nevritis. Facitque conjugi maritum desiderabilem.
Inde etiam contra lethalem aspidem, novi, aspectum tui
Valida esse remedia, homines servans divine lapis,
Cui nomen colorque est viridis porri.

CHABAZIUS.

INde etiam te divine Chabazie, tentare
In animum induxi, tuamque vim expertus sum optimam.
Pariter enim & morbum refrigeras ignitum,
Et mihi à Scorpio icto, remedium affers.
Latonæ Fili, Pœantius heros tui plenus
Dicit, hæc ad me usque, omnia hactenus perplexè exposita (fuisse.
Sorori meæ iratos Apollo
Cassandræ, jussit eam audientibus omnia
Vaticinari Trojanis, vera scientem.
Ast & ego prius juravi magnum jus jurandum,
Falsum numquam me verbum dicturum hominibus:
Igitur postquam tibi singula admodùm verè enarravi,
Nostris, Heros longe jaculans, crede verbis.
Et ita loquutus est Priamì divini charus filius,
Gratiam referens intrepidi Herculis servo.
Nobis verò herbosum ad verticem euntibus,
Asperam admodum viam colloquia familiaria leniverunt.

FINIS.

FRAGMENTA QUÆDAM ORPHEO ADSCRIPTA.

ΕΚ ΤΩΝ ΟΡΦΕΩΣ ΠΕΡΙ ΘΕΩΝ

Φθέγξομαι οἷς θέμις ἐστὶ, θύρας δ' ἐπίθεσθε βεβήλοις
Πᾶσιν ὁμῶς. σὺ δ' ἄκουε φαεσφόρου ἔκγονε μήνης
Μουσαῖ'. ἐξερέω γὰρ ἀληθέα· μηδέ σε τὰ πρὶν
Ἐν στήθεσσι φανέντα φίλης αἰῶνος ἀμέρσῃ,
Εἰς δὲ λόγον θεῖον βλέψας, τούτῳ προσέδρευε,
Ἰθύνων κραδίης νοερὸν κύτος. εὖ δ' ἐπίβαινε
Ἀτραπιτοῦ, μοῦνον δ' ἐσόρα κόσμοιο ἄνακτα.
Εἷς δ' ἔστ' αὐτογενὴς, ἑνὸς ἔκγονα πάντα τέτυκται.
Ἐν δ' αὐτοῖς αὐτὸς περινίσσεται· οὐδέ τις αὐτόν
Εἰσοράᾳ θνητῶν, αὐτὸς δέ γε πάντας ὁρᾶται.
Οὗτος δ' ἐξ ἀγαθοῖο κακὸν θνητοῖσι δίδωσι,
Καὶ πόλεμον κρυόεντα, καὶ ἄλγεα δακρυόεντα.
Οὐδέ τις ἔσθ' ἕτερος. σὺ δέ κεν ῥέα πάντ' ἐσορήσαις,
Αἴκεν ἴδῃς αὐτὸν πρὶν δήποτε δεῦρ' ἐπὶ γαῖαν,
Τέκνον ἐμὸν δείξω σοι, ὁπηνίκα δέρκομαι αὐτοῦ
Ἴχνια, καὶ χεῖρα στιβαρὴν κρατεροῖο θεοῖο.
Αὐτὸν δ' οὐχ ὁρόω. περὶ γὰρ νέφος ἐστήρικται
Λοιπὸν ἐμοί. στᾶσιν γὰρ δέκα πτυχαὶ ἀνθρώποισιν.
Οὐ γὰρ κέν τις ἴδοι θνητῶν μερόπων κραίνοντα,
Εἰ μὴ μουνογενής τις ἀπορρὼξ φύλου ἄνωθεν

Χαλδαίων· ἴδρις γὰρ ἔην ἄστροιο πορείης,
Καὶ σφαίρης κίνημ' ἀμφὶ χθόνα ὡς περιτέλλει,
Κυκλοτερές γ' ἐν ἴσῳ, κατὰ δὲ σφέτερον ἀνώδακα.
Πνεύματα δ' ἡνιοχεῖ περί τ' ἠέρα καὶ περὶ χεῦμα
Νάματος, ἐκφαίνει δὲ πυρὸς σέλας ἰφιγενήτου.
Αὐτὸς δ' αὖ μέγαν αὖθις ἐπ' οὐρανὸν ἐστήρικται
Χρυσέῳ εἰνὶ θρόνῳ, γαίη δ' ὑπὸ ποσσὶ βέβηκε.
Χεῖρα δὲ δεξιτερὴν ἐπὶ τέρμασιν Ὠκεανοῖο
Ἐκτέτακεν· ὀρέων δὲ τρέμει βάσις ἔνδοθε θυμῷ,
Οὐ δὲ φέρειν δύναται κρατερὸν μένος, ἔστι δὲ πάντως
Αὐτὸς ἐπουράνιος, καὶ ἐπὶ χθονὶ πάντα τελευτᾷ,
Ἀρχὴν αὐτὸς ἔχων ἅμα καὶ μέσον ἠδὲ τελευτήν,
Ὡς λόγος ἀρχαίων, ὡς ὑδογενὴς διέταξεν,
Ἐκ θεόθεν γνώμαισι λαβὼν κατὰ δίπλακα θεσμόν.
Ἄλλως οὐθεμιτὸν δὲ λέγειν. τρομέω δέ γε γυῖα
Ἐν νόῳ· ἐξ ὑπάτου κραίνει περὶ πάντ' ἐνὶ τάξει.
Ὦ τέκνον, σὺ δὲ τοῖσι νόοισι πελάζεο, γλώσσην
Εὖ μάλ' ἐπικρατέων· στέρνοισι δὲ ἔνθεο φήμην.

ΤΟΥ ΑΥΤΟΥ.

Αἰθέρος ἠδ' ἀΐδου, πόντου γαίης τε τύραννε,
Ὃς βρονταῖς σείεις βελαρὸν δόμον οὐλύμποιο,
Δαίμονες ὃν φρίσσουσι, θεῶν δὲ δέδοικεν ὅμιλος,
Ὧι μοῖραι πείθονται ἀμείλικτοί περ ἐοῦσαι,
Ἄφθιτε μητροπάτωρ, οὗ θυμῷ πάντα δονεῖται,
Ὃς κινεῖς ἀνέμους, νεφέλῃσί τε πάντα καλύπτεις
Πρηστῆρ σχίζων πλατὺν αἰθέρα, σὴ μὲν ἐν ἄστροις
Τάξις ἀναλλάκτοισιν ἐφημοσύναισι τρέχουσα,
Σῷ δὲ θρόνῳ πυρόεντι παρεστᾶσιν πολύμοχθοι
Ἄγγελοι, οἷσι μέμηλε βροτοῖς ὡς πάντα τελεῖται,

Σὸν μὲν ἔαρ λάμπει νέον ἄνθεσι πορφυρέοισι,
Σὸς χείμων ψυχραῖσιν ἐπερχόμενος νεφέλαισιν,
Ἃς ποτε βακχεύτας Βρόμιος διένειμεν ὀπώρας.

ΤΟΥ͂ ἈΥΤΟΥ͂

Ἄφθιτον, ἀθάνατον, ῥητὸν μόνον ἀθανάτοισιν,
Ἐλθὲ μέγιστε θεῶν πάντων κρατερῇ σὺν ἀνάγκῃ,
Φρικτὸς, ἀήττητος, μέγας, ἄφθιτος, ὃν στέφει αἰθήρ.
Δεῦρό νυν, οὗ αλάμοι καθαρὰς ἀκοάς τε πελάσσας,
Κέκλυθι τάξιν ἅπασαν ὅσην τεκμήρατο δαίμων
Ἔκ τε μιῆς νυκτὸς ἠδ᾽ ἐξ ἑνὸς ἤματος αὔτως.

ΤΟΥ͂ ἈΥΤΟΥ͂.

Ἀστραίη κούρη δὲ πέλει πρὸς ἅπαντα φερίστη
Σπέρματα· καὶ δὲ φυτοῖσιν ἐναίσιμος· ἔν τε βόθροισι
Βάλλειν ἔρνεα πάντα τά τε δρυὸς ἄκρα λέγονται.
Οἴνας δ᾽ ἐξαλέασθαι· ἐπεὶ συγέει περίαλλα
Ἰκαρίου κούρη ληνοὺς καὶ ἀδευκέας οἴνας,
Μνωομένη ὅσα λυγρὰ διωνύσοιο ἕκητι
Ἀκταῖοι μήσαντο, μέθῃ δεδμημένοι αἰνῇ·
Ἰκάριον καί μιν στυφελαῖς κορύνῃσι δαΐξαν,
Σφαλλόμενοι δώροισι χοροιμανέοιο βάκχου·

ΤΟΥ͂ ἈΥΤΟΥ͂.

Πάντ᾽ ἐδάης μοῦσαι θεόφραδε· εἰ δέ σ᾽ ἀνώγει
Θυμὸς ἐπωνυμίας μήνης κατὰ μοῖραν ἀεῖσαι,
Ῥεῖα τοι ἐξερέω· σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν.

ΤΟΥ ΑΥΤΟΥ.

Εὐσεβέων γὰρ ἀεὶ τὸ τέλος γλυκερώτερόν ἐστι.

Ad Musæum.

Καὶ τὸ δικαιοσύνης τε καὶ εὐσεβίης μέγ' ὄνειαρ.

Ad eundem ex Iustino Martyre.

Πᾶσιν γὰρ θνητοῖς θνητοὶ κόραι εἰσὶν ἐν ὄσσοις.

Ex Stobæo.

Ἀλλὰ θεοὶ σοφίης ἐριλαμπέος ἡγεμονῆες
Κέκλυτε.

Ex eodem.

Ζεὺς δ' ἐνορᾷ γονέων ὁπόσοι τίουσι θέμιστας,
Ἠδ' ὅσοι οὐκ ἀλέγουσιν ἀναιδέα θυμὸν ἔχοντες.
Καὶ τοῖς μὲν, πρόφρων τε, καὶ ἤπιος ἐσθλὰ δίδωσι.
Τοῖς δὲ κακὰ φρονέων νεμεσίζεται εὐμενίδεσσι.
Δειναὶ γὰρ κατὰ γαῖαν ἐριννύες εἰσὶ τοκήων.

Ex eodem.

Ἓν δαίμας βασίλειον ἐν ᾧ τάδε πάντα κυκλεῖται,
Πῦρ, ὕδωρ, καὶ γαῖα, καὶ αἰθὴρ, νύξ τε καὶ ἦμαρ.

Ex eodem.

Ὠκεανὸς πρώτιστα καλίρροος ἦρξε γάμοιο,
Κασιγνήτην ὁμομήτορα τηθὺν ὄπυιεν.
Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ
Οὐρανὸν ἀστερόενθ' ἵνα μιν περὶ πάντα καλύπτοι,
Ὅς ῥ' εἴη μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς ἀεί.
Οὐδὲ εἷς λέληθεν οὐδὲ ἓν ποιῶν,
Οὐδ' ἂν ποιήσων οὐδὲ πεποιηκὼς πάλαι,
Οὔτε θεὸς, οὔτ' ἄνθρωπος οὗτος εἰμὶ ἐγὼ,

Ἀὴρ ὃν ἄν τις ὀνομάσειε καὶ Δία.
Ἐγὼ δ᾽, ὃ θεοῦ ἐστὶν ἔργον, εἰμὶ πανταχοῦ,
Ἐνταῦθ᾽ ἐν Ἀθήναις, ἐν Πάτραις, ἐν Σικελίᾳ,
Ἐν ταῖς πόλεσι πάσαισι, ἐν ταῖς οἰκίαις
Πάσαις, ἐν ὑμῖν πᾶσιν· οὐκ ἔστι τόπος,
Οὗ μή ᾽στιν ἀήρ. ὁ δὲ παρὼν ἁπανταχοῦ,
Πάντ᾽ ἐξ ἀνάγκης οἶδε πανταχοῦ παρών.

Ex Tzeze.

--- Οὐδ᾽ ἣν Ἰφίκλοιο θοώτερος αὐδάξοιο
Ὅς τε καὶ ἀνθερίκεσιν ἐπέτρεχεν, οὐδ᾽ ἔτι καρπὸν
Σίνετ᾽, ἀήσυρα γυῖα φέρων ἐπὶ λήϊον αὖον.

E Sexto Philosopho.

Ἦν χρόνος, ἡνίκα φῶτες ἀπ᾽ ἀλλήλων βίον εἶχον
Σαρκοδαῆ. κρείττων δὲ τὸν ἥττονα φῶτα δάιζε.

E Clemente Alexandrino.

Ὣς εἰποῦσα πέπλους ἀνεσύρατο, δεῖξέ τε πάντα
Σώματος οὐδὲ πρέποντα τύπον, παῖς δ᾽ ἦεν Ἴακχος
Χειρί τε μιν ῥίπτεσκε γελῶν Βαυβοῦς ὑπὸ κόλποις.
Ἡ δ᾽ ἐπεὶ οὖν εἴδησε θεὰ, μείδησ᾽ ἐνὶ θυμῷ
Δέξατο δ᾽ αἰόλον ἄγγος, ἐν ᾧ κυκεὼν ἐνέκειτο.

ΤΟΥ ΑΥΤΟΥ.

Κῶνος καὶ ῥόμβος, καὶ παίγνια καμπεσίγυια,
Μῆλά τε χρύσεα καλὰ παρ᾽ Ἑσπερίδων λιγυφώνων.

Ex Apulejo de Mundo.

Ζεὺς πρῶτος γένετο, Ζεὺς ὕστατος ἀρχικέραυνος.
Ζεὺς κεφαλὴ, Ζεὺς μέσσα, Διὸς δ᾽ ἐκ πάντα τέτυκται
Ζεὺς πυθμὴν γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος,
Ζεὺς ἄρσην γένετο, Ζεὺς ἄμβροτος ἔπλετο νύμφη.

Ζεὺς πνοιὴ πάντων. Ζεὺς ἀκαμάτου πυρὸς ὁρμή.
Ζεὺς πόντου ῥίζα. Ζεὺς ἥλιος, ἠδὲ σελήνη.
Ζεὺς βασιλεύς. Ζεὺς ἀρχὸς ἁπάντων, ἀρχιγένεθλος.
Πάντας γὰρ κρύψας αὖθις φάος ἐς πολυγηθὲς
Ἐξ ἱερῆς κραδίης ἀνενέγκατο μέρμερα ῥέζων.

ΤΟΥ ΑΥΤΟΥ.

Πολλαὶ οὐρανόθεν καὶ ἐπαρτέες ἐκ νεφελάων
Τῆμος, ἐπόρνυνται φηγοῖς τε δένδρεσιν ἄλλοις
Οὔρεσί τε, σκοπέλοις τε, καὶ ἀνθρώποις ἐρεθύμοις
Πηγυλίδες, τε ἔσονται ἀμειδέες· αἳ γὰρ ὄντως
Τρύχουσιν καὶ θῆρας ἐν οὔρεσιν, οὐδέ τις ἀνδρῶν
Προβλώσκειν μεγάρων δύναται κατὰ γυῖα δαμασθεὶς
Ψύχει λευγαλέῳ· πάχνη δ᾽ ὑπὸ γυῖα μέμυκε.

Orphei Epigramma in Argo navem.

Ἀργὼ τὸ σκάφος εἰμί. θεῷ δ᾽ ἀνέθηκεν Ἰάσων,
Ἴσθμια καὶ νεμέοις στεψάμενον πίτυσιν.

FINIS.

ANDREÆ CHRISTIANI ESCHENBACHII

IN

ORPHEI

ARGONAUTICA

NOTÆ ET EMENDATIONES

Ut &

HENRICI STEPHANI

in omnia

JOSEPHI SCALIGERI

in Hymnos.

ET

NOTÆ.

ANDREÆ CHRISTIANI ESCHENBACHII

IN

ORPHEI

ARGONAUTICA

NOTÆ.

VErſ. 3. κλέος ἐσθλὸν ὀπάσσαις:] Hæc verba ita hactenus interpretati ſunt, ac ſi poëta proprii ſui nominis famam extendi ab Apolline petat. Sed præter hunc, longè alius horum verborum eſſe poteſt ſenſus. Nimirum in hâc invocatione duo potiſſimùm ab Apolline petit Poëta: Primò, ut ſibi univerſam ſequentis hiſtoriæ ſeriem verè & ex ordine enarrare liceat adjuvante & inſpirante Deo; quemadmodum Virgilius: *Muſa mihi cauſſas memora* &c. quam partem abſolvit his duobus verſibus:

Σὴν ἀρετὴν ὑμνῶ, σὺ δέ μοι κλέος ἐσθλὸν ὀπάσσαις,
Πέμπε δ' ἐπὶ πραπίδεσσιν ἐμαῖς ἐτυμηγόρον αὐδήν.

Deinde, ut eandem hiſtoriam dulcibus modulis & ſonoro carmine pertractare poſſit, quam partem itidem duobus ſequentibus verſibus abſolvit:

Ὄφρα πολυσπερέεσσι βροτοῖς λιγύφωνον ἀοιδὴν

Ἠπήσω μούσης ἐφέλμαῖς ἢ πηκτίδι πυκνῇ.

Τὸ igitur κλέος ὀπάσσαις, optimè, mea quidem ſententia, exponi hoc ſenſu poſſet per διαδεδομένην φήμην διήγησιν, ita ut planè reſpondeat illi adducto Virgiliano: *Muſa mihi cauſſas memora.* Quodſi tamen quis in priori ſenſu accipere velit hæc verba, huic quidem non repugnabo, modò non cum vulgatis interpretibus hæc verba à ſequentibus ſejungat, ſed in ſequenti verſu τὸ ἢ pro copulativa, (quod ſæpè ita apud hunc Poëtam occurrit) habeat; ita ut ſenſus ſit: Tu mihi hanc gloriam largire, ut late disperſis hominibus, &c. Τὸ κλέος τῶν μέσων eſſe, omnibus notum. Quemadmodum etiam *clarus* apud Salluſtium accipitur: *Apud ſocios clari magis quàm honeſti.* Ὀπάζειν Heſychius exponit χαρίζεσθαι, Ὤπασεν, ἐχαρίζετο. Sic Prometheus apud Æſchylum: Πῦρ ἔσω σφιν ὤπασα, quod Horatius: *Intulit.*

Audax Japeti genus

Ignem fraude mala gentibus intulit.

Alibi etiam ὤπασε exponitur ἐπύπωσε, ut apud eundem Æſchylum: ἑπτ. ἐπὶ θήβ. verſ. 498. Non equidem ignoro inferiùs τὸ κλέος ἐσθλὸν ὀπάζειν occurrere alio ſenſu, ſed ibi τὸ ὀπάζειν refertur ad κλέος, & interpretandum per verbum *ſequi*; hic verò refertur ad σύ.

V. 6. Μούσης ἐφέλμαῖς:] i. e. *carmine.* ἐφετμαῖς, nonnunquam pro ἁρμοῖ vel ἁρμοζόντως. & ita intelligunt interpretes Callimachum εἰς Δῆλον:

Ἀλλὰ

Ἀλλὰ φίλη, δύναται γὰρ, ἀμήνειν πότνια δούλοις
Ὑμετέροις, οἳ σεῖο πέδον πατέουσιν ἐφετμῇ.

Ubi τὸ ἐφετμῇ reddunt etiam *legitimè*. Sed ut dicam quod res eſt, in hoc Callimachi loco non videtur rectè verti *legitimè* τὸ ἐφετμῇ, ſed σεῖο ἐφετμῇ conjungitur, tuo juſſu terram peragrant. Iris nimirum & Mars, ut perſequantur Latonam, quemadmodum in Hymno Panis qui Orpheo tribuitur.

Βαίνει γὰρ τάδε θεῖα πολύκελτα σαῖσιν ἐφετμαῖς.

Mediam in ἐφετμαῖς hic auctor corripit, ut & infra in ἐρετμοῖς & alibi ſæpè, quod tamen Henricus Stephanus jam obſervavit.

Πηκτίδι πυκνῇ:] τῶν πηκτίδων mentionem facit Ariſtoteles lib. VIII. c. VI. Politic. Athenæus lib. IV. & XIV. Scaliger in Hiſtorico cap. XLVIII. hæc refert; *Erat & πηκτὶς duobus tantùm nervis. Pulſabant autem radiolo altera manu, quod plectrum à percuſſione appellarunt: altera premebant nervos certis intervallis &c,* πυκνῇ, nimis craſsè reddunt: *lyram craſſam,* πυκνὸς à πύκα eſt, hoc autem ἀντὶ τοῦ ἐπισημόνως παραλαμβάνεται, teſte Æſchyli Schol. ad ἑπτ. ἐπὶ θήβαις verſ. 151. unde εὖ πυκάζου, exponit: ἐντέχνως καὶ ἐπισημόνως ἔντεινε τὸ τόξον. Quin ipſum verbum πυκάζω ornatus quandam & elegantiæ ſignificationem habere videtur in verſibus illis Archeſtrati, qui citantur ap. Athenæum lib. II.

Ἀεὶ δὲ στεφάνοισι κάρα παρὰ δαῖτα πύκαζου
Παντοδαποῖς, οἷς ἂν γαίας πέδον ὄλβιον ἀνθῇ.

Quid ſit νᾶς πυκνὸς, & ἀνὴρ πυκνὸς, notum eſt.

V. 7. Λυροεργέ:] Neſcio cur hic interpretes λυροεργὲ maluerint exponere per *Lyræ inventorem aut patrem* quàm ſimpliciter per *Lyriſtam*, cùm tamen ipſum vocabulum Græcum & Fabula etiam hoc potiùs requirant. Mercurio enim hujus inſtrumenti inventio tribuitur, quod ab inventore acceptum Apollo, ad fiſtulæ modulos, lineis, quibus ante erat inſtructum chordis exemtis, atque nerveis intentis, adaptaſſe tantùm legitur. vid. Scaliger loco ſuperiùs adducto. Et apertè Horatius l. 1. Od. x. Mercurium vocat *curvæ lyræ parentem.*

V. 8. Θυμὸς ἐποτρύνει λέξαι:] Pindaricum hoc eſt, ita enim Ol. 3. ἐς γαῖαν πορεύειν θυμὸς ὥρμαιν. & paulò poſt: Ἐμὲ δ᾽ ὦν πα θυμὸς ὀτρύνει φάμεν. Claudianus: *Mens congeſta jubet, & : totum ſpirant præcordia Phœbum.*

V. 12. Ἀρχαίου μὲν πρῶτα χάους ἀμέγαρτον ἀνάγκην:] Per ἀνάγκην hìc illa intelligitur neceſſitas, quam cauſſam omnium rerum multi ſtatuebant Philoſophi, ut Democritus & alii. Ideoque & Chao & Terræ apponebant neceſſitatem. Et Pythagoras τὴν ἀνάγκην τῷ κόσμῳ περικεῖσθαι dicebat, ut auctor eſt Jamblichus in vita Pythagoræ, quamobrem ἀνάγκη, ἡ πάντα κρατοῦσα, &, ſec. Ariſtotelem οὐκ ἀλλό τι λέγεται πλὴν ὁ θεὸς, ἀκίνητον οὐσίαν ὤν. Eam tamen ſubmittit Dei conſiliis Heſiodus ἔργ. v. 15.

Οὔτις

Οὔτις τήνγε φιλεῖ βροτὸς, ἀλλ' ὑπ' ἀνάγκης
Ἀθανάτων βουλῆσιν ἔριν τιμῶσι βαρεῖαν

Hanc de neceſſitate doctrinam recoxit nuper Spinoſa, qui ſentit omnia ſemper fuiſſe & eſſe neceſſaria. Ἀμέγαρτον, Heſychius ἀφθόνητον, ἀζήλωτον, ἢ πολὺ, ἢ μέγα· ὡς τὸ ἀμέγαρτε συβώτα, ᾧ οὐκ ἄν τις φθονήσειεν. Cujus magnitudo tanta eſt, ut invidiam exuperet, quod Horatius lib. II. od. XX. dixerit *Invidia major.* Catullus in eundem ferè ſenſum:

Aut ne quis malus invidere poſſit,
Cùm tantum ſciat eſſe baſiorum.

Quemadmodum etiam in contrarium idem vocabulum accipitur de eo, quod ne quidem invidiam meretur. Sic apud Æſchylum in Supplic. v. 650. αἰδοῦνται δ' ἱκέτας Διὸς, ποίμναν, τάνδ' ἀμέγαρτον. ad quæ Scholia: Τὴν ὑμῶν σύστασιν ἀφθόνητον, διὰ τὸ ἀτελές. ita fortaſſis ἀμέγαρτον πόνον dixit Homerus Iliad β. v. 420.

Ἀλλ' ὅγε δέκτο μὲν ἱρὰ, πόνον δ' ἀμέγαρτον ὄφελλεν.

Æſchyl. Prometh. Τὸ τῆς ἀνάγκης ἔστ' ἀδήριτον σθένος. Sed alio ſenſu.

